153. τᾶσδε recc.: τᾶσδέγε M. 156. πανδίκωσ ex πανδίκουσ factum M. 159. λυτήριοί τ' Seidler: λυτήριοι M. 160. φιλοπόλεις Wunderlich: φιλοπόλιεσ M. 161. μέλεσθέ θ' recc. 163. πόλεος Porson: πόλεωσ M. 165. paragraphum praefixit M, Eteoclis notam m. 166. ἀρωγὰ Weil.

στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν
αὔειν, λακάζειν, σωφρόνων μισήματα;
μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει·
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην,
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλεται,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε χὤ τι τῶν μεταίχμιον,

φόβον αὐτοὺς φυγεῖν. ἀλόγοις δὲ ζῴοις παρέβαλεν τὰς παρθένους, ὅτι ἐν φαντασίᾳ γεγόνασι πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀγαθῇ (ἀληθεῖ Robort.). εἰσὶ γὰρ φαντασίαι ἀληθεῖς. 167. ἔσω τειχῶν ὄντι (Gl.). 169. λακάζειν: ἠχεῖν. ληκῶ, λακάζω κατὰ τροπὴν καὶ παραγωγήν. σωφρόνων μισήμ(ατα): ταῦτα (ταῦτα τοῖς m), προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν. ταῦτα οὖν ἃ πράττετε μισήσειαν (ἂν addit Victorius) οἱ εὖ φρονοῦντες ἄνδρες. 170. γνώμη. — εὐδαιμονίᾳ, εὐετηρίᾳ (Gl.). 172. (173) ἐν θορύβοις (172) οὐ καθεκτή. 175. δειλίαν (Gl.). — διὰ τοῦ θορύβου ἐμβεβλήκατε. 179. ἀνὴρ γυνή τε: νέος ἢ γέρων. ἀκαίρως (ἀκύρως Weil) δ' ἡ λέξις τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. ἄλλως. κεκινδύνευται τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, μέσον ἄλλο εἶπεν· εἰ μὴ ἄρα τις λέγοι ὅτι ὀργιζόμενος οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν φησί, κἂν ὄστρακον ᾖ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκός, συνεκβάλλεσθαι.

---

167. πυργηρουμένη corr. in πυργηρουμένω(ι) M. 168. πολλισσούχων ante ras. M. 176. ὀφέλλετε recc. 177. ὑπ' αὐτῶν rec. Post 177 versum τοιαῦτα τἂν (τἂν pro ἂν vel τ' ἂν vel γ' ἂν Blomfield) γυναιξὶ συνναίων ἔχοις habent recc. Inserendi potius hic v. 182. 183. 178. τῆσ supra versum habet M.

ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;

str. 1. ΧΟ. ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-
σασα τὸν ἁρματόκτυπον
ὄτοβον, ὅτε τε σύ-
ριγγες ἔκλαγξαν ἑλίτροχοι,
ἱππικῶν τ' ἀύπνων
πηδαλίων διὰ στόμα
πυριγενετᾶν χαλινῶν.

ΕΤ. τί οὖν; ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν
πρύμνηθεν ηὗρεν μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ ἐν κύματι;

antistr. 1. ΧΟ. ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-

181. τὸν ἐκ δήμου λευστῆρα μόρον. 183. τοὺς πολίτας δηλονότι θορυβοῦσα. 185. ἀπολογοῦνται διότι ἐθορύβησαν. 188. σύριγγες τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπεραιούμενα. τὸ μὲν γὰρ αὐτῶν ἐστι μέγα, τὸ δὲ ἕτερον μικρότερον, ἄλλο δ' αὖ τοῦ δευτέρου μικρότερον, λόγον τῶν αὐλῶν τῶν συρίγγων ἐπέχοντα (m[1]). — ἑλίτροχοι: περὶ ἃς ἑλίσσονται οἱ τροχοί. 189. τῶν μὴ ἐώντων με ἠρεμεῖν (Gl.). 193. μηχανὴν σωτη(ρίας): οὐκοῦν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας παριοῦσαι (περιιοῦσαι m[1]) τὴν πόλιν εὑρήσετε. 195. προτρέχουσα τῶν ἄλλων (m[1]). - - βασιλικά, παρὰ τὴν ἀρχήν.

---

180. διοίσεται cl. Hesych. διοίσεται· διακριθήσεται Herwerden. 181. φύγ** corr. in φύγηι M. 186. τὸν corr. ex τῶν M. 186 sq. fort. ἁρματόκτυπον ὄχων ὄτοβον. 187. ὅτε rec.: ὅτι M. 188. ἔκλαγξαν (δϊ scripsit m[1]) M. 189. ἄπνουν Lachmann. 190 sq. διαὶ πυριγενεταὶ χαλινοί Heimsoeth. 191. χαλινᾶν ante corr. M. 192. πρώραν M. 193. εὗρεν M, ν erasit m[1]. 194. ποντίωι * * ματι M, ἐν κύ in rasura scripsit m· πολλῷ κύματι recc., fort. σαλεύματι. 195. ἦλθον | ἀρχαῖα M.

χαῖα βρέτη, πίσυνος θεοῖς,
νιφάδος ὅτ' ὀλοᾶς
νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ
πρὸς μακάρων λιτάς, πόλεως
ἵν' ὑπερέχοιεν ἀλκάν.

ET. *πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.*
οὔκουν τάδ' ἔσται πρὸς θεῶν· ἀλλ' οὖν θεοὺς
τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

str. 2. XO. *μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν*
ἅδε πανάγυρις, μηδ' ἐπίδοιμι τάνδ'
ἀστυδρομουμέναν πόλιν καὶ στράτευμ'
ἁπτόμενον πυρὶ δαΐῳ.

ET. *μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·*
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας

197. *νιφάδα τὸ τῶν πολεμίων ἔθνος* (*πλῆθος* schol. rec.). — *τὴν λίθων σύρροιαν* (?) (m[1]). 201. *ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί.* 202. *πύργον στέγειν εὐχ(εσθε): τοῦτο εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶς* (*ἀσφαλῶς* schol. rec.) *ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους.* 203. *εἰς τὴν Τροίαν γὰρ τοιοῦτόν τι ἐφαίνετο* (m[1]). 204. *ἐστὶ* (Gl. m[1]). 205. *μήποτ' ἐμὸν κατ' αἰῶ(να): μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ* (*τὸ* m) *Ὁμήρῳ τὸ »θεῖον δύσονται ἀγῶνα«* (*Η* 298), *παρὰ γοῦν τὸ εἰς τὸ αὐτὸ ἀγείρεσθαι ἀγῶνα εἴρηκεν. τὴν οὖν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγὴν πανήγυριν τραγικώτερον εἶπεν.* 208. *γρ. τυφόμενον, οἷον καιόμενον πολεμίῳ πυρί.* 210. *πειθαρχία γάρ ἐστι τῆς εὐπρα(ξίας):*

---

196. fort. *θεοῖς τε πίσυνος.* 198. *νειφομένησ* (α superscr.) M. 200. *πόλεως* delet Heimsoeth. 203. *οὔκουν* M, *οὐκοῦν* m[1]. Chori notam praefixit et ante *ἀλλ'* Eteoclis notam superscripsit m[1]. 204. *πόλεος* recc.: *πόλεως* M. *ἐκλιπεῖν* ante correcturam M. 205. paragraphus praefixa in M. *λίποι* recc.: *λείποι* M. 207. *στράτευμ'*, *στ* in rasura, M. 207 sq. fort. *πόλιν δαΐῳ θ' ἁπτόμενον πυρὶ πύργωμα.* 209. paragraphum praefixit M, Eteoclis notam add. m.

[illegible] ος· ὧδ' ἔχει λόγος.
[illegible] ἰσχὺς καθυπερτέρα·
[illegible] κακοῖσιν τὸν ἀμήχανον
[illegible] ὕπερθ' ὀμμάτων
[illegible] νεφελᾶν ὀρθοῖ.
[illegible] σφάγια καὶ χρηστήρια
[illegible] πολεμίων πειρωμένοις·
[illegible] σιγᾶν καὶ μένειν εἴσω δόμων.
[illegible] νεμόμεθ' ἀδάματον,
[illegible] ὄχλον πύργος ἀποστέγει.
[illegible] στυγεῖ;
[illegible] σοι δαιμόνων τιμᾶν γένος·
[illegible] μὴ κακοσπλάγχνους τιθῇς,
[illegible] ἄγαν ὑπερφοβοῦ.

[illegible] τὴν πειθαρχίαν μητέρα τῆς εὐπραξίας [illegible] ἐστι τὸ πειθαρχεῖν· πειθόμεναι γὰρ [illegible] ἐστᾶσιν. τινὲς δὲ ἀντὶ τοῦ εὖ πράσ[illegible] πράγματα. — γνώμη. 211. λείπει Διός, [illegible] τῆς (m¹). — οἰκείως ἔχουσα πρὸς τὸ [illegible] νεφέ(λαν): τὸν μὴ δυνάμενον ἑαυτῷ [illegible] ὁ θεὸς ὀρθοῖ. 216. τὰ εἰς χρῆσιν [illegible] 218. τῇ γυναικί. 219. λείπει δι' [illegible] σοῦ μέμψις (m¹). 222. τὸ τιμᾶν τοὺς [illegible] οὐδεὶς ταῦτα δρῶν ἡμᾶς ποιούσας μισῆ-

212. θεοῦ M, οισ superscripsit m. θεοῦ etiam [illegible] 213. κακοῖσι M. τὸν ex schol. Canter: τὰν M [illegible] καὶ χαλεπᾶς Marcellinus, recte ut videtur. (Idem [illegible] νεφελᾶν Hermann: χριμναμένᾶν νεφέ[illegible] νεφελᾶν m¹ (et Marcellinus). 216. τόδ' Naber. [illegible] (ων scripsit m¹) M. 218. scribendum [illegible] 219. νεμόμεθ' recc.: νεμόμεσθ' M. ἀδάματον Pauw: [illegible] 221. τίς Heath: τί M. 223. τιθεῖσ M, τιθῇσ m¹.

antistr. 3. ΧΟ. ποταίνιον κλύουσα πάταγον ἄμμιγα
ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν,
τίμιον ἕδος, ἱκόμαν.
ΕΤ. μή νυν, ἐὰν θνῄσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε·
τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν.
ΧΟ. καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.
ΕΤ. μή νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.
ΧΟ. στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.
ΕΤ. οὔκουν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.
ΧΟ. δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.
ΕΤ. οὐ σῖγα μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν;
ΧΟ. ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
ΕΤ. οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;
ΧΟ. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.
ΕΤ. αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν.
ΧΟ. ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.

225. πρόσφατον (m[1]). 226. τὴν ἀκρόπολιν τίμιον ἕδος. 229. μὴ ἁρπάσητε τὸ (l. τῷ) θρηνεῖν. 230. ταῦτα νόμιμα Ἄρεως. 232. κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν. 233. ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων σείεται, φησίν, ἡ ἡμετέρα γῆ. 237. ὦ ξυντέλεια: τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς. κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. Ὅμηρος· »ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος« (K 56). 239. θεοὶ πολῖται: τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν. 240. θρηνοῦσα δῆλον ὅτι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς. 241. βέλος νῦν τὸν πόλεμον. βέλος δὲ πᾶν τὸ βαλλόμενον.

---

225. ποτίφατον Heimsoeth. κλύουσ' ἀνάμιγα (ἀνάμιγα rec.) πάταγον Prien. 226. ἀκρόπτολιν Porson: ἀκρόπολιν M. 228. μὴ νῦν et θνήσκοντας M. 232. μὴ νῦν M. 233—250. paragraphi praefixae in M, nisi quod 239 et 243 etiam chori notam adscripsit m. 235. πέκοιθ' Heimsoeth. 238. φόνον M, φθόρον m[1]. 240. καὶ σὲ καὶ πᾶσαν Wunderlich. πόλιν recc.: πτόλιν M.

ET. ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
XO. μοχθηρόν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.
ET. παλινστομεῖς αὖ θιγγάνουσ᾽ ἀγαλμάτων;
XO. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.
ET. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
XO. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ᾽ εἴσομαι.
ET. σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.
XO. σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.
ET. τοῦτ᾽ ἀντ᾽ ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ᾽ ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς.
κἀμῶν ἀκούσασ᾽ εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,

244. δυσφημεῖς καίτοι τῶν ἀγαλμάτων ἐχομένη. 245. ὑπὸ φόβου συναρπάζομαι. 246. γρ. λόγον. 247. λέγοις ἂν ὡς τάχ(ιστα): λέγε, φησί, ταχέως, καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾶν, ἢ ὑπακούειν· γνώσομαι, φησίν, εἰ δυνατόν μοι ποιεῖν ἐστιν ὃ κελεύεις. 249. οὐχ ἁπλῶς ἐσίγησεν, ἀλλὰ μετὰ φόβου. — σιγῶ, σὺν ἄλλοις: ἐπὶ τοῦ παρόντος, φησί, σιγῶ· σὺν ἄλλοις γὰρ τὸ εἱμαρμένον πείσομαι. 250. τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ. — τοῦτ᾽ ἀντ᾽ ἐκείνων: ἀνθ᾽ ὧν ἄλλων δυσφήμων εἴρηκας τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι. 254. ὀλολυγμὸν ἱερόν: διέστειλεν τὸν ὀλολυγμὸν τοῦ παιῶνος. ὥσπερ (καὶ Vict.) γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. ὁ γοῦν ποιητής φησιν ἐπὶ τῶν Τρωϊάδων· »αἳ δ᾽ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον« (Z 301), καὶ ἐπὶ τῶν Ἑλληνίδων· »αἳ δ᾽ ὀλόλυξαν θυγατέρες τε νυοί τε« (γ 450). ἡ δὲ διάνοια ἁπλῆ· φησὶν οὕτως, κἀμοῦ, φησίν, εὐχομένου ἀκούσασα· πῶς δέ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσει ναὐτοῖς (l. αὐτὸς) τοῖς θεοῖς καὶ θυσίας ποιεῖν (ποιήσειν Vict.)· οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω, ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος Ἑλληνικόν.

---

247. καὶ τότ᾽ Meineke. 249. σπείσομαι M, σπ in π mutavit m[1]. 252 delet Weil. 253. ἀκούσασ M. 254. ἱρὸν Dindorf. παιώνισον M, ω in α ut videtur mutavit m[1].

Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
θάρσος φίλοις, λύουσα πολέμιον φόβον,
ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Δίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνὸν λέγω,
εὖ ξυντυχόντων καὶ πόλεως σεσωμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὧδ' ἐπεύχομαι
θήσειν τροπαῖα, πολεμίων δ' ἐσθήμασι
λάφυρα δαΐων δουρίπληχθ' ἁγνοῖς δόμοις
στέψω πρὸ ναῶν πολεμίων δ' ἐσθήματα.

255. *ἐνθουσιαστικῆς. — θυστάδος: τῆς παρὰ ταῖς θυσίαις γινομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ. ἢ, ἣ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις· ἤ, ὡς νενομισμένον Ἕλλησιν παρὰ τὰς θυσίας ὀλολύζειν.* 256. *θάρσος φίλοις: τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις. πολέμιον δὲ φόβον τὴν ὀλολυγὴν ἐξηγήσατο ἐν τῷ »λύουσα πολέμιον φόβον«. — διὰ τῶν τοιούτων εὐχῶν λύουσα τὸν τῶν πολεμίων φόβον.* 259. *οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω: ἀντὶ τοῦ, σὺν τῷ Ἰσμηνῷ. κατὰ σχῆμα δὲ ἡ φωνή, οἷον, λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ. θύω οὖν αὐτοῖς πᾶσι, τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. ἄλλως. καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰσμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις* 262. *λείπει ἡμᾶς, ἡμᾶς ἐπεύχομαι.* 263. *θήσειν τρόπαια: παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ἐτεοκλέα· ὥστε ἀνεβίβασε τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος. — ἐσθήμασιν ἐσθήματα ἀναθήσω πρὸ τῶν ναῶν τὰ λάφυρα.*

---

259. *Ἰσμηνὸν* Schuetz (Abreschio auctore): *ἴσμινοῦ* M, *ἰσμηνοῦ* m. 260. *σεσωμένης* scripsi: *σεσωισμένησ* M. 261. *αἱμάσσων τόθ'* Ritschl. 262—265 haec genuina videntur: *λάφυρα δᾴων δουρίπηχθ' ἁγνοῖς δόμοις στέψω πρὸ ναῶν, πολεμίων ἐσθήματα.* 263. *τρόπαια* et *ἐσθήμασι* (τα scripsit m) M. 264. *δουρίπηχθ'* Dindorf. 265. super *δ'* scripsit *τ'* m. Verba *πολεμίων δ' ἐσθήματα* omittunt duo recc., totum versum plerique recc.

τοιαῦτ' ἐπεχύου μὴ φιλοστόνως θεοῖς,
μηδ' ἐν ματαίοις κάγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον·
ἐγὼ δ' ἐπ' ἄνδρας ἓξ ἐμοὶ σὺν ἑβδόμῳ
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο.

str. 1. ΧΟ. μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ·
γείτονες δὲ καρδίας
μέριμναι ζωπυροῦσι τάρβος
τὸν ἀμφιτειχῆ λεών,
δράκοντας ὥς τις τέκνων
ὑπερδέδοικεν λεχαί-

267. οἷον ἐκφοβήμασι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας. 269. ἡ ἐπί πρὸς τὸ ἐχθροῖς. — ἐγὼ δ' ἐπ' ἄνδρας: ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ς', ὥστε ἐστὶν αὐτὸς ἕβδομος, ἀντιστάτας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις, (καὶ inseruit m[1]) σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι' ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα. 272. τοὺς συνεχεῖς κατεπείγοντας τὴν ἀφ' ἡμῶν ἔξοδον. 273. ἀνάπτεσθαι (Gl. m[1]). 274. ὁ νοῦς· μέλει μοι, φησίν, ὧν εἶπεν ὁ Ἐτεοκλῆς, ἀλλ' ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν με ποιεῖ καὶ ἡσυχάζειν. 275. γείτονες δὲ καρδ(ίας): αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον. ἡ καρδία μου, φησί, δέδοικε τὸν πολιορκοῦντα στρατὸν ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς. 279. λεχέων: τουτέστι, νεμομένων ἐπὶ τῆς καλιᾶς. ταύτην γὰρ λέχος εἶπεν. οἷον τῶν (τὸν m) ἐν

---

267. ποιφύγμασιν recc.: ποφ'· · γμασιν mut. in ποφόιγμασιν M. 268. ·άλλο·ν (fuerat καλλων) mut. in μᾶλλον M. 273. χρείασ (ρεί in rasura scripsit m[1]) M. 274. ὑπνώσει M, σ inseruit m[1]. 275. καρδίας spondeum efficit ut Suppl. 74, 807. 278. δράκοντας Bothe: δράκονταδ' M. 279. ὕπερ δέδοικ· M, ε in rasura scripsit m[1]. λεχαίων Lachmann: λεχέων M.

ων δυσευνάτορας
πάντρομος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεὶ πανομιλεὶ
στείχουσιν· τί γένωμαι;
τοὶ δ᾽ ἐπ᾽ ἀμφιβόλοισιν
ἰάπτουσι πολίταις
χερμάδ᾽ ὀκριόεσσαν.
παντὶ τρόπῳ, Διογενεῖς
θεοί, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.

antistr. 1. *ποῖον δ᾽ ἀμείψεσθε γαίας πέδον*

ὡρισμένῳ τόπῳ μενόντων καὶ μήπω δυναμένων ἵπτασθαι. δυσευνήτορας δὲ δυσευνήτους, διὰ τὸν φόβον τοῦ δράκοντας. πάντροφον δὲ τὴν πελειάδα φησίν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ Ἀφροδίτῃ. περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον. 282. οἱ πολῖται (Gl. m[1]). 284. τῆς τύχης δηλονότι (Gl.). 285. ἀμφιβόλοισιν: πάντοθεν βαλλομένοις· ἢ ἀμφοτέρωθεν. 286. ἰάπτουσιν: μετὰ βλάβης βάλλουσιν ἐπιπέμποντες τοῖς πολίταις μου τὴν ὀκριόεσσαν χερμάδα. 287. τραχεῖαν (m[1]). 290. ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι. 291. ποῖον δ᾽ ἀμείψεσθε (ἀμείψασθε ante corr.) γαίας πέδ(ον): ἀντὶ τοῦ ποῖον οἰκήσετε δάπεδον ἐντεῦθεν μεταστάντες; εἴρηται δὲ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε;

---

280. *δυσευνάτορας* Bothe: *δευσευνήτορασ* (*ει* et *α* superscripsit m[1]) M. 280 sq. *ἀπάν | τρομοσ* (*ή* superscripsit m[1], *φ* m) M, *ἀ* omittunt recc. (*πάντροφος* legerunt etiam Tzetzes ad Lycophr. 87 et Eustath. ad Hom. p. 1602, 7). 283. *πανδημεῖ πανομιλεῖ* M. 285. *τι* ante corr. M. 287. *ὀκρυόεσσαν* M, *υ* in *ι* mutavit m[1]. 288. *διογεν*. M, *εῖς* in rasura scripsit m. 291. *ἀμείψεσθε* fecit ex *ἀμείψασθε* m[1].

τᾶσδ' ἄρειον, ἐχθροῖς
ἀφέντες τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε Διρκαῖον, εὐ-
τραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσει-
δᾶν ὁ γαιάοχος
Τηθύος τε παῖδες.
πρὸς τάδ', ὦ πολιοῦχοι
θεοί, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
καταρίψοπλον ἄταν
ἐμβαλόντες ἄροισθε
κῦδος τοῖσδε πολίταις,
καὶ πόλεως ῥύτορες
εὔεδροί τε στάθητ'
ὀξυγόοις λιταῖσιν.

292. *ἄρειον πεδίον προείρηται.* 293. *τὰν βαθύχθο(ν'): οἷον, τὴν εὔγειον ταύτην καταλείψαντες εἰς τίνα χωρήσετε;* 296. *Ποσειδῶν ὁ γαιήοχ(ος): ἢ ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης Ποσειδῶν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι, ἀφ' ὧν οἱ χείμαρροι.* 298. *ποταμοί, ὡς ἀπὸ τοῦ Ὠκεανοῦ καὶ Τηθύος ἀδελφῆς αὐτοῦ* (m[1]). 299. *πρὸς τάδ', ὦ πολιοῦχ(οι): ἀντὶ τοῦ διὰ ταῦτα. πρὸς ταῦτα γάρ, ὦ πολῖται θεοί, τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥστε αὐτοὺς τὰ ὅπλα ῥῖψαι· τούτου δὲ γενομένου πρὸς ὑμῶν πάνυ ἂν ὑμνοῖσθε παρὰ τῶν πολιτῶν.* 305. *φύλακες τῆς πόλεως* (m[1]). 306. *εὔεδροί τε: εὔεδροι στάθητε. συναπτέον τὸ* (l. *τῷ*) *ποῖον ἀμείψεσθε γαίας πέδον.* 307. *ὀξυγόοις λιτ(αῖσιν): διὰ τὰς ὀξυθρηνήτους λιτὰς ἡμῶν.*

---

294 sq: *εὐτραφέστατον* recc.: *εὐτρεφέ | στατον* M. 296 et 297 in uno verso habet M. 302. *καταρίψοπλον* M, *καὶ τὰ(ν)ρίψοπλον* m, *κῆρα, ῥίψοπλον* Lowinski. 305. *ῥυτορεσ* (*ῆ* scripsit m[1]) M. *ῥύτορες* ⟨*ἔστε τ'*⟩ Ritschl. 305—307. *καὶ . . εὔεδροι | τε . . λιταῖσιν* M. 306. *τ•* M, *ε* in rasura scripsit m[1].

str. 2. οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν
'Αίδᾳ προϊάψαι δορὸς ἄγραν,
δουλίαν ψαφαρᾷ σποδῷ
ὑπ' ἀνδρὸς 'Αχαιοῦ θεόθεν
περθομέναν ἀτίμως.
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,
ἒ ἕ, νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων, περιρ-
ρηγνυμένων φαρέων.
βοᾷ δ' ἐκκενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου.
βαρείας τοι τύχας προταρβῶ.
antistr. 2. κλαυτὸν δ' ἀρτιδρόποις ὠμοδρόπων,
νομίμων προπάροιθεν, διαμεῖψαι

308. τήνδ' (Gl. m^{1}). — ἀπ' 'Ωγύγου βασιλεύσαντος ἐκεῖ (m^{1}). 309. διὰ δόρατος ἀγρευθεῖσαν (Gl.). 310. ἀσθενεῖ, ἐλαφρᾷ (Gl.). 314. διέκοψεν τὸν λόγον τῷ θρήνῳ. 315. ἱππηδὸν πλοκά(μων): ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἱππέων σύρεσθαι τῶν πλοκάμων μετὰ ἀνάγκης· καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕπονται. — δίκην ἵππων (Gl. m^{1}). 318. λείας (m^{1}). — πορθουμένας. — ἐκ πάσης συμμιγοῦς ἡλικίας (m^{1}). 320. κλαυτὸν δ' ἀρ^{δ}τιτρόπ(οις): εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις· εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμήν, φησί, διακορευομέναις ἔσται κλαυθμός, ἤ, ταῖς δὲ διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν ἔσται δάκρυα. — ὠμοδρόπων: ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων. 321. διαδέξασθαι τὴν στέρησιν τῶν οἰκημάτων.

---

309. ἀίδα M, ἀΐδαι m. 310. δουλίαν rec.: δουλείαν M. 313. κε^{ι}χηρωμένασ M (ει superscripsit m^{1}). Versuum 313—19 et 325—31 locus permutandus videtur. 315. ἱππηδὼν ante ras. M. περι M, περιρ m. 318. λα^{η}ΐδοσ (η supersc. m^{1}) M. 320. ἀρτιτρόποισ (Δ superscr. m) M.

δωμάτων στυγερὰν ὁδόν —
τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν —,
πολλὰ γάρ, εὖτε πτόλις δαμασθῇ,
ἒ ἕ, δυστυχῆ τε πράσσει.
ἄλλος δ' ἄλλον ἄγει, φονεύ-
ει, τὰ δὲ πυρφορεῖ·
καπνῷ χραίνεται πόλισμ' ἅπαν.
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.
str. 2. *κορκορυγαὶ δ' ἀν' ἄστυ, ποτὶ πτόλιν δ'*
ὁρκάνα πυργῶτις.
πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι

328. *τί τὸν φθίμε(νον): τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτεθνηκὼς εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος. οἱ τελευτήσαντες, φησί* (l. *φασί*), *καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον ἡμῶν πράττουσιν. — περισσά* (super *προ* scr. m[1]). 328. *καίεται* (m[1]). 329. *χαλεπώτερος γὰρ ὁ καπνὸς ἐν ταῖς πορθήσεσιν.* 330. *λαοδάμας: κυρίως τὸ ἐπίθετον Ἄρεως εἴρηται.* 332. *ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις* (cfr. Aristoph. Pac. 991, Lys. 491, Nub. 387). 333. *φυλακή* (Gl.) — *ὀρκάνη τὸ θηρατικὸν δίκτυον, ὃ καὶ σαργάνη καλεῖται.* 334. *παρὰ τὸ Ὁμηρικὸν »ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν«* (*Δ* 472) (Gl.). 335. *βλαχαὶ δ' αἱματ(όεσσαι): ἐπὶ τῶν ἄσημα φθεγγομένων νέων τὴν βληχὴν ἔθηκεν. ὥσπερ, φησί, τὰ νεογνὰ οὐδέπω τὴν φωνὴν ἔναρθρον ἔχοντα ἀπαγόμενα πρὸς τῶν πολεμίων αἱμάσσεται, ὥστε αὐτὰ ἄναρθρον φωνὴν καὶ ὥσπερ προβατώδη προΐεσθαι. τὸ δ' ἑξῆς, βλαχαὶ βρέμονται.*

---

322. fort. *ὀμφάκων τρυγερὰν δρόσον*, cfr. Eustath. opusc. p. 355, 28 ed. Tafel *ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινόν, ἐὰν ὡς ἡ παροιμία ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ.* 325. *πτόλις* rec.: *πόλισ* M. 327. *ἄλλος ἄλλον* Heimsoeth. *φονεύει* | M. 329. *καπνῷ* Brunck: *καπνῶ δὲ* M, *καπνῶι δὲ* m. 332. *πτόλιν* delet Hermann. 334. *κλίνεται* (*και* superscripsit m[1]) M.

τῶν ἐπιμαστιδίων
ἀρτιτρεφεῖς βρέμονται.
ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον οὔτ' ἴσον λελιμμένοι.
τί ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;
antistr. 3. *παντὸδαπὸς δὲ καρπὸς χαμά-*
δις πεσὼν ἀλγύνει κυρήσας·
πικρὸν δ' ὄμμα θαλαμηπόλων·
πολλὰ δ' ἀκριτόφυρτος
γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοις φορεῖται.

338. *ὁμαίμονες: συγγενεῖς· Ἕλληνες γὰρ πάντες. οἷον μετὰ αἵματος γινόμεναι. ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν καὶ ἐξ ἑνὸς γένους.* 339. *συναντᾷ* (m¹). 341. *κοινωνόν* (Gl.). 342. *λαβεῖν βουλόμενοι* (Gl.). — *οὔτε μεῖον οὔτ' ἴσον λε/: διὰ τούτου τοὺς πλεονέκτας ἐμφαίνει. ὁ γὰρ μήτε ἔλασσον αἱρούμενος μήτε τὸ ἴσον φαίνεται πλείονος ὀρεγόμενος.* 343. *τί ἐκ τῶνδ' εἰκά(σαι): τί δεῖ ὑπονοῆσαι ἐκ τούτων ἢ πένθη καὶ συμφοράς;* 345. *τὸν τυγχάνοντα.* — *αἰσ*^θῶς^ (super *κυρήσας* scr. m¹, quod *αἰσθητῶς* videtur Vitellio). 346. *πικρὸν δ' ὄμμα θαλα(μηπόλων): πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων.* 347. *ἀναμεμιγμένη* (Gl.). 348. *ὁ καρπός* (Gl.). — *ἀνευφράντοις· τὸ γὰρ γάνος δάνος οἱ Δωριεῖς* (m¹). 349. *ὡς ἐπὶ ναυαγίοις* (Gl.). — *ἐν ῥοθίοισι φο(ρεῖται): ἐπειδὴ τὰ κύματα ἔσθ' ὅτε ὠφέλειαν παρέχεται ταῖς πό-*

---

337. *ἀρτιβρεφεῖς* recc. 338. *διαδρομὰν* M, *διαδρομᾶν* m¹. 339. *ξυμβολεῖ* (*αλλ* superscr. m¹) M. 341. *ξύννομον* recc.: *ξύνομον* M. 342. *λελιμμένοι* recc.: *λεληιμμένοι* M. 343. *τί ἐκ* M, *τίν' ἐκ* ante versum m¹. *τίν' . . λόγον* olim Dindorf. 344 sq. *παντοδαπὸσ . . πεσὼν | ἀλγύνει* M. 345. *ἀλγύνει* ex *ἀλγύνῃ* fecit M. *κυρήσας* delet Dindorf. 346. fort. *τῶν θαλαμηπόλων.* 349. *ῥοθίοις* recc.: *ῥοθίοισι* M.

δμωίδες δὲ καινοπήμονες νέαι
τλήμονες εὐνὰν αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος ὡς
δυσμενοῦς ὑπερτέρου.
ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

ΗΜΙΧ. ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.
ΗΜΙΧ. καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος
εἰσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·

λεσιν, διὰ γὰρ αὐτῶν τὰ ἐπιτήδεια ἄγεται [τροπικῶς δὲ ῥόθια εἶπεν τὰ συνεχῆ κινήματα τῶν πολεμίων], προσέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς, οἷον ἀχρείοις. — ῥοθίοισιν: ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων. τούτους γὰρ ῥόθιά φησιν, ἐπειδὴ πολεμοῦσιν· τὰ γὰρ κύματα ἐπωφελῆ εἰσιν· δι' αὐτῶν γὰρ ὁ πλοῦς τὰ πρὸς τὸ ζῆν κομίζων ταῖς πόλεσιν. 351. μεταστᾶσαι εἰς δουλείαν οἴσουσι τὴν τῶν πολεμίων εὐνήν. — ἕξουσιν (m[1]). — φέρουσαι (alia m. rec.). 353. ὡς τοῦ πολέμου (πολεμίου Heimsoeth) κρατήσαντος. 354. φόβος (m[1]). — ἀντὶ τοῦ νύκτα, περιφραστικῶς (παραφρ. m[1]). 355. αὐξητικόν (m[1]). 357. ἀγγελίαν (m[1]). 358. χνόας ποδ(ῶν)': μεταφορικῶς εἶπεν τὰ ἄκρα τῶν ποδῶν. ἄλλως. τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν· τοῦ μέντοι ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι χνόη καλεῖται. 359. καὶ μὴν ἄναξ: καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς (ἢ ὥστε . . διανοίᾳ, τοῖς Paley) ὠσὶν ἀκούσαντα. 360. ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον. — ὡς τὰ κατὰ μέρος ὁμοῦ ἀγγέλλοντος νῦν (m[1]).

---

350 sq. νέαι τλήμονες ex interpretamento repetit Butler. 356. ΗΜΙΧ. i. e. dux hemichorii. 360. ἀρτίκολλος Paley.

σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα.
ΑΓ. *λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων,*
ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ.
τοιαῦτ' ἀυτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δ' ἔσω
χαλκήλατοι κλάζουσι κώδωνες φόβον.
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.

361. *σπουδὴ δὲ καὶ τοῦδ(ε)*: *ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει, μεθ' ὃ οὐκ ἄλλο πρακτέον.* 362. *εἰδὼς εὖ λέγοιμί σοι ἄν.* 364. *Τυδεὺς μὲν ἤδ(η)*: *αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος. — Προιτίς ὀξυτόνως.* 367. *ἐπιθυμῶν, παρὰ τὸ λίπτω.* 368. *τότε γὰρ μάλιστα μέμηνεν.* 369. *τύπτει* (m[1]). — *τὸν Ἀμφιάρεων* (Gl. m[1]). 370. *ἐκκλίνειν* (Gl.). 371. *νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία.* 372. *κράνους χαίτωμα: οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα.* 374. *ὑπερήφανον* (Gl.). 376. *ἐν τῷ μέσῳ τοῦ σάκους.* 377. *καὶ Πίνδαρος* (Olymp. I 7, fragm. 74) *ἄστρον τὸν ἥλιόν φησι.*

362. nuntii notam in ras. scripsit m[1]. 363. *ὥστ'* rasura mut. in *ὅτ'* M. *ὡς ἐν* Blomfield. *πάλῳ* duo recc. 366. *γίνεται* M. 367 *λε μ ἱμένοσ* (*λε* scripsit m, *μ* scr. m[1]) M. 369. *θαίνει* recc.: *θένει* M. 372. *δ' ἰσώ* M, *γρ. τῶ* m[1]. 377. *ἄστρον* ante corr. M.

τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς
βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὣς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλῄθρων λυθέντων προστατεῖν φερέγγυος;
ΕΤ. *κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,*
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἡ ἀνοία τινί.

378. *χαίρων* (m[1]). — *πανοπλίαις* (Gl. m[1]). 380. *ἵππος χαλινῶν: οὕτως ἀσθμαίνει καὶ σπεύδει ὡς καὶ ἵππος πολεμιστὴς σάλπιγγος ἀκούων καὶ ἐπιθυμῶν πολέμου εἴργεται πρὸς τοῦ ἐπιβάτου.* 382. *τίν' ἀντιτάξεις: τίνα οὖν ἀντιτάξεις τῷ Τυδεῖ; τίς ἄξιός ἐστιν προΐστασθαι τῆς ἐγγύτητος* (ortum ex *πύλης* et *ἐγγυητής*) *ταύτης;* 383. *ἀξιόπιστος ἐγγυητής.* 385. *οὐδ' ἑλκοποιὰ γίνε(ται): ταῦτα παρὰ Ἀλκαίου. οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ* (l. *οὐδὲ ὅπλα*) *αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν ᾖ ὁ* (l. *αὐτὰ γένοιτο*) *γενναῖος. — ἤγουν οὐ τιτρώσκει* (Gl. m[1]). 387. *καὶ νύκτα ταύτην ἣν λέ(γεις): ὁ νοῦς, ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα. ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος »εἰ γὰρ θανόντι νὺξ ἐπ' ὄμμασιν πέσοι«. — τάχ' ἂν αὕτη ἡ νὺξ εἰπεῖν ὤφειλεν·* (vocabulum non liquet, fort. *καλῶς*) *δὲ εἶπεν ἡ ἄνοια* (m[1]). 389. *ἡ ἀνοία: παροξυτόνως Ἀττικῶς* (*Ἀττικοὶ* Dind.) *ἀντὶ τοῦ ἄνοια. διὰ δὲ τὸ μέτρον ἐξέτεινεν. ὁ δὲ νοῦς· τὰ ἐξ ἀνοίας τινῶν γενόμενα τάχα τῶν κακῶν αὐτοῖς ἔσται σύμβολα.*

---

378. *αγαῖσ* M, *σαγαῖσ* m[1]. 380. *χαλινῶν* M, *χαλινῶν δ'* m[1]. 381. (*ὁρ*) *μαίνει μένων* ex variatione clausulae superioris versus (*κατασθμαίνει μένων*) repetit Frey, cfr. Cho. 769. Scribendum *ὀργᾶται κλύων*, cfr. schol. 385. *γίνεται* M. 389. *ἄνοιά τινι* M, *ἀνοία τινί* m. *μάντις ἐννοίᾳ* Blomfield.

εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους·
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος. ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ·
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.
str. 1. ΧΟ. *τὸν ἁμὸν νυν ἀντίπαλον εὐτυχεῖν*
θεοὶ δοῖεν, ὡς δικαίως πόλεως

393. *ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον.* 396. *μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύ*(*νης*): *καλῶς ἀντέταξεν τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ' ἀλλότριον.* 397. *ὑπέρφρονας λόγους*: *ἀντὶ τοῦ ὑπερηφάνους· οἷον, οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους.* 398. *ἔργων* (m[1]). — *αἰσχρῶν γὰρ ἀργός*: *ἀργός ἐστι τῶν κακῶν λόγων ἢ* (l. *ἢ*) *τῶν ἔργων. φιλεῖ δὲ τὸ μὴ εἶναι κακός, ἢ τῷ τρόπῳ, ἢ ὡς Ὅμηρος, ἀντὶ τοῦ δειλός.* — *δειλός* (Gl. m[1]). 400. *τὸ γένος* (Gl. m[1]). — *ἐγχώριος*: *γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων.* 401. *ἔργον δ' ἐν κύ*(*βοις*): *ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος.* 402. *Δίκη δ' ὁμαίμων*: *τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν εἰς τὴν μάχην.* 405. *ὅτι δικαίως προμάχεται τῆς πόλεως.*

---

393. ***μαντεύσεται*** **(*σ* inseruit m) M. 394. paragraphus praefixa in M. 402. *ὁμαίμων* (*δ* superscr. m[1]) M. 404. *ἁμὸν* ex *ἀμὸν* fecit M. *νῦν* M. 405. *ὡς διὰ δίκας* Heimsoeth.**

πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὀλομένων ἰδέσθαι.
ΑΓ. *τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί·*
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντος φησίν, οὐδὲ τὴν Διὸς
ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν.
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσιν θάλπεσιν προσῄκασεν.

407. *οὓς ποιοῦνται ὑπὲρ τῶν φίλων πολιτῶν οἱ Θηβαῖοι. ἢ ὑπὲρ δὲ περισσή.* 409. *τῷ Μελανίππῳ* (Gl.). 410. *β̄* (i. e. *δεύτερος*) (m[1]). 411. *γίγας ὅδ' ἄλλος: πάνυ ῥητορικὸς ὁ Αἰσχύλος· ῥητορικὸν δὲ λέγω, ὅταν τοῖς ῥήτορσι λόγος ἤτοι ἐπαινετικὸς ἢ ψεκτικὸς παρά* (*περί* Dind.) *τινων δύο τοῦ μὲν ᾱ εἴπῃ ἔπαινον ἢ ψόγον, παραλείπηται τοῦ ἐπαίνου* (*παραλείπῃ δὲ τοῦ β̄ ἔπαινον* Enger). *πανηγυρικὸν δὲ καὶ δριμὺ περὶ τοῦ Τυδέως λέγων, οὐκ εἰπὼν ὅτι πᾶς ἐστι* (*εἶπεν ὅτι γίγας ἐστὶν ἢ* Heimsoeth) *γίγασιν ὅμοιος, Καπανέα δὲ ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ φησι »γίγας ὅδ' ἄλλος«. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστίν, ἢ γίγασιν ὅμοιος. — τοῦ Τυδέως* (Gl.). 412. *»Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής«* (Hom. *E* 801). 415. *οὐδὲ τὴν Διός: οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ Διὸς φιλονεικήσαντος, ἐμποδὼν γενέσθαι αὐτῷ λέγει.*

---

406. *πρόσμαχοσ* M, corr. m[1]. 406—408. *τρέμωι | δ' . . μόρουσ | . . ἰδέσθαι* M. 407. fort. *στόνους*, cfr. schol. 409. *τούτωι*, rasura ex *τούτων* factum, M. *θεοὶ δοῖεν* M, superscr. (B′ A′) m. 413. *κραίνοι* M, *κράνοι* m[1]. Versum delet Lachmann. 416. *πέδοι* Dindorf: *πέδωι* M. *σχέθειν* M.

ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν· πρήσω πόλιν.
τοιῷδε φωτὶ πέμπε, τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;
ET. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ δρᾶν παρεσκευασμένος,
θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσιν θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας

419. ἔχει δὲ σῆμα: ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα διὰ χερῶν. ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ' ὅπλου οὖσα ἡ λαμπάς. 424. καὶ τῷδε κέρδει κέρδ(ος): πρὸς τῷ μεῖναι τὸ νικῆσαι. τοῦτο γάρ ἐστι κέρδει κέρδος. 434. ἀνὴρ δ' ἐπ' αὐτῷ: ἀντὶ τοῦ ἀντιτέτακται. καὶ εἰ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ' ὅμως ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου ἀνθέστηκεν μηδὲν δεδοικυῖα. — ταχὺς εἰς τὸ λαλεῖν (Gl.). 436. φερέγγυον φρούρη(μα): ἱκανὸς φρουρεῖν τὴν πατρίδα. — ἀξιόμαχον πρὸς φυλακήν (Gl.).

---

422. πέμπε (ε finale in litura scr. m[1]) M. 423. κομπάσαντα (ζον superscr. m[1]) M. 424. personae notam om. M, add. m[1]. τῷδε κόμπῳ Keck. 425. ἀνδρᾶσι M. 426. γλῶτ' M, γλῶττ' m. γίνεται M. 427. παρασκευασμένοσ (ε superscr.) M. 427 sq. fort. Καπανεὺς δ' ἀτίζων κἀπογυμνάζων στόμα. 430. γεγωνὰ Brunck: γεγωνᾶ M, γεγωνᾶι m. 431. πυρφόρον recc.: πυρφόρων M. 436. φερέγγιον M, φερέγγυον m.

Ἀρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

antistr. 1. ΧΟ. ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,
κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἐδωλίων ὑπερκόπῳ
δορί ποτ' ἐκλαπάξαι.

ΑΓ. καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηΐσταισι προσβαλεῖν λόχον.
ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,

437. Ἀρτέμιδος εὐνοίαισι: ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς Ἀρτέμιδος. ἀφιέρωται δὲ τῇ Ἀρτέμιδι ἡ τῶν Θηβαίων (πόλις add. schol. rec.). διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις οὖν τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν. 440. τὸ ἐκ τοῦ κεραυνοῦ βέλος. 441 sq. παρθενικῶν καθεδρῶν (m[1]). 443. ἐκβαλεῖν (Gl. m[1]). 444. καὶ μὴν τὸν ἐντεῦθεν λα(χόντα): τὸν ἀπὸ τούτου κληρωθέντα. τρίτῳ γὰρ τῷ Ἐτεόκλῳ (ἐξῆλθεν add. schol. rec.) ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν. 445. γ̄ (i. e. τρίτος) (m[1]). 447. οὕτω καλουμέναις. 448. τοῖς χαλινοῖς (Gl.). — ἐν ἀμπυκτῆρσιν: οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. νῦν δὲ λέγει τοῖς χαλινοῖς, ἵν' ᾖ, τοὺς ἵππους θυμοῦ πλήρης (πλήρεις schol. rec.) περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις. 450. ἀπηνῆ ἦχον· ἢ ἐπεὶ (ὡσεὶ schol. rec.) ἡ σῦριγξ βοᾷ.

---

438. πύλαισι ληχότα M, πύλαισ εἰληχότα m. 440. νιν Brunck: μιν M. 441—43. δόμον | . . ἐδωλίων | . . ἐκλαπάξαι M. 441. θ' recc.: τ' M. 442. ὑπερκόπῳ anonymus: ὑπερκόμπω M. 444 delet H Wolf. 446. πήδησεν M. 447. νηίστῃισι M, νηΐτῃισι m[1]. 450. ζτ in marg. M. συρίζουσαι ante ras. M. βρόμον Schuetz.

μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ μικρὸν τρόπον·
ἀνὴρ ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὖτος γραμμάτων ἐν ξυλλαβαῖς
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγόν.
ΕΤ. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ
καὶ δὴ πέπεμπται κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεὺς Κρέοντος σπέρμα τοῦ σπαρτῶν γένους,
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.
str. 2. ΧΟ. ἐπεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν, ἰὼ
πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.

452. * * * ἔχει σημεῖα (m[1]). 454. στείχει πρὸς ἐχθρῶν πύργον: οὐκ εἶπεν πρὸς ποῖον πύργον. μεγάλως οὖν φησι πρὸς πάντα πύργον. 465. καὶ πόλισμ' ἐπ' ἀσπίδ(ος): τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι, καὶ τὸ ἐπ' ἀσπίδος πόλισμα γραφέν. 467. κόμπαζ' ἐπ' ἄλλῳ: λέγε ἄλλον κομπώδη, μηδὲ (καὶ μηδὲν schol. rec.) ἀποκρύψῃ με τῶν ἀλαζονειῶν (ἀλαζονιῶν m).

---

452. εἰσημάτιστα et in marg. ζτ M, ἐσχημάτισται m[1]. σμικρὸν Robortellus. 453. ἀνὴρ Blomfield: ἀνὴρ δ' M, super δ' scripsit γὰρ compendio m[1]. 456. ἐκβάλῃι ante corr. M. 458. δούλιον Blomfield: δούλειον M. 460. πέπεμπται rec.: πέπεμπτ' οὐ M. 461. σπαρτοῦ (ων scr. m[1]) M. 465. δύ' ex δ' fecit M vel m. 467. φθόνει λόγων Valckenarius, fort. λήρων φθόνει, cfr. schol. 468. ἰὼ in proximo v. habet M. 469. fort. δυστομεῖν.

ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.
ΑΓ. τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,

471. αὐτούς (Gl. m[1]). 472. ὁ πᾶν διανέμων. 473. δ̄ (i. e. τέταρτος) (m[1]). — γείτονας πύλας ἔχων: ὧν εἶπεν. γείτονας οὖν πύλας ἐγγὺς (ἔχων add. Dindorf) ταύτας ἵσταται ἅμα βοῇ τὰς τῆς Ἀθηνᾶς τῆς Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι Ὀγκαῖαι. ἡ δὲ ἱστορία αὕτη. Ἀγήνωρ ὁ Τύριος παῖδας ἔσχεν τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δ' Εὐρώπης ὑπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς ἦλθεν ἐρωτήσων ποῦ καταστaίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησεν, ἔθυσε δὲ τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ (Αἰγυπτίω m) φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν. ἀπὸ δὲ Κίλικος Κιλικία. 475. περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα. 476. ἅλω δὲ πολλήν: ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον ἐκκαυθέντα (ἐκταθέντα schol. rec.) λευκὰ φαίνηται καὶ ἐν κύκλῳ τοῦ ἡλίου γένηται. νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν κίνησιν τὴν συνεχῆ τῆς ἀσπίδος. ἔφριξα οὖν, φησί, κινήσαντος καὶ οὐ ψευδῆ λέγω. ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν, ὡς ἔοικεν, εὐτελής. 478. ὁ τὰ σημεῖα ἐγγράψας τῇ ἀσπίδι (m[1]).

---

470. βάζουσιν recc.: βάζουσ' M.

Τυφῶν' ἱέντα πύρπνοον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου.
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκὴν θυιὰς ὣς φόβον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον·
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.
ΕΤ. *πρῶτον μὲν Ὄγκα Παλλάς, ἥτ' ἀγχίπτολις*
πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν,
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δὲ κεδνὸς Οἴνοπος τόκος
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων

480. *Τυφῶν' ἱέντα*: *ὤπασε δὲ ἐπὶ τῆς ἀσπίδος τὸν Τυφῶνα ἀφιέντα διὰ τοῦ στόματος τοῦ* (*τὸ*^ν m) *πῦρ πνέοντος καπνὸν μέλανα τὸν ἀδελφὸν τοῦ πυρός. αἰόλην δὲ τὴν εὐκίνητον καὶ ταχεῖαν. κάσιν δὲ εἶπεν, ἐπεὶ σύνεστι τῷ πυρὶ ὁ καπνός.* 481. *τῶν παραδόξων ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαν.* 482. *ἡ ἀσπὶς κύκλωθεν ἔχει ἐζωγραφημένους ὄφεις περιπεπλεγμένους* (m¹). — *τὸ στρογγύλον τοῦ κύκλου* (Gl. m¹). 483. *ὅλη γὰρ ἡ ἀσπὶς περιφερὴς καὶ κοίλη προσυπεμφαίνεται* (m¹). — *περίδρομον κύτος*: *τὸ χώρημα τῆς ἀσπίδος. ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὀφίων εἰς ἑαυτοὺς ἄντικρυς ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένου* (-α schol. rec.) *πρὸς τὰ τέλη. ἡ ἀσπὶς ἡ κοίλη πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα.* — *τοὺς γηγενεῖς δρακοντόποδας ἔγραφεν.* 484. *ἐμμανής* (Gl.) 490. *δυσχείμερον* (m¹). 491. *Ὑπέρβιος ὄνομα κύριον.* 492. *προεκρίθη.*

---

482 sq. aliquid intercidisse (ut *πλεκτάναισιν ἀντωπῶν * **), ex scholio effici videtur. 484. *Ἄρει* recc.: *ἄρηι* M. 485. *βακχᾶ* M, *βάκχᾶ* m, in marg. *ὁρμᾶ βακχᾶ* m¹. *Θυιὰς* rec.: *θυὰσ* M. *φόνον* Canter. 489. fort. *πύλαισιν ἧσται τἀνδρὸς.* 490. *δύσχιμον* M, *ε* super *ι* scr. m¹.

ἐξιστορῆσαι μοῖραν ἐν χρείᾳ τύχης,
οὔτ' εἶδος οὔτε θυμὸν οὐδ' ὅπλων σχέσιν
μωμητός, Ἑρμῆς δ' εὐλόγως συνήγαγεν.
ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται,
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὁ μὲν γὰρ πύρπνοον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων,
κοὔπω τις εἶδεν Ζῆνά που νικώμενον.
τοιάδε μέντοι προσφίλεια δαιμόνων.
πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἱ δ' ἡσσωμένων,
εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ·
Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος
εἰκός γε πράξειν ἄνδρας ὧδ' ἀντιστάτας·
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.

antistr. 2. ΧΟ. πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ'
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσι,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

493. θέλων γνῶναι τὰ τῆς οἰκείας τύχης (m[1]). 495. τὰ ἀπὸ τῆς τύχης Ἑρμῇ ἀναφέρουσιν. 498. τοὺς θεοὺς (οὓς add. schol. rec.) ἐν ταῖς ἀσπίσι φοροῦσιν. 500. ἐνιδρυμένος. 502. οἰκείωσις (Gl.). 503. τοῦ κρατοῦντος ἐσμὲν Διός, οὗ καὶ τὸ σημεῖον. 508. ἐναντίον (m[1]). — πιστεύω ἀπολεῖσθαι τὸν ἔχοντα ἐν τῷ σάκει τὸν ἐχθρὸν τοῦ Διὸς δαίμονα. 512. ῥίψειν (Gl. m[1]).

---

493. fort. χρείᾳ δορός. 494. οὐθ' ὅπλων recc. 496. ἀνὴρ M. ἀνδρὶ supra versum habet M. ξυντήσεται M, ξυνστήσεται m. 501. Ζῆνά του Elmsley. 504—507. β γ α δ praescripsit m[1]. 506. εἰκόσγε πρᾶξειν (δὲ et εν scr. m[1]) M. Versum eicit Francken. 508. ἔχοντα M. 510. δαίμονος et βροτοῖς Brunck: δαίμοσιν et βροτοῖσι M. καὶ in proximo v. habet M. 511. θεοῖσιν Hermann.

ΑΓ. *οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,*
πέμπταισι προσταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος·
ὄμνυσι δ' αἰχμὴν ἣν ἔχει, μᾶλλον θεοῦ
σέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
Διός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηίδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὁ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' ὠμόσιτον προσμεμηχανημένην
γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας,
φέρει δ' ὑφ' αὐτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον,

513. *ε'* (i. e. *πέμπτος*) *Παρθενοπαῖος* (m[1]). 520. *καλλιπρόσωπον* (Gl.). — *ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν παιδικῇ ἡλικίᾳ ἀνδρεῖος. καλλίπρωρος δὲ ἀντὶ τοῦ εὐειδής, ἐπεὶ ἡ πρῴρα ὡς ὄψις ἐστὶ νεώς.* 522. *τῆς παιδικῆς. ταρφύσεως* (*ταρφύς*: Kirchhoff) *πεπυκνωμένη.* 523. *οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν.* 526. *ἐπειδὴ Οἰδίπους ἐμίγη τῇ μητρὶ λύσας τὸ αἴνιγμα τῆς Σφιγγός.*

---

514. *Βορραίαις* Porson: *βορρέαισ* M. 517. fort. *σέβειν ἐπαυχῶν.* 519. *μητρὸς* recc.: *ματρὸσ* M. 520. *καλλίπρωρον* M. 527. *κύκλωτῶι* M, *κύκλωι τῶι* m. 533. *καταισχύνειν* M, *καταισχυνεῖν* m.

Παρθενοπαῖος Ἀρκάς· ὁ δὲ τοιόσδ' ἀνήρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.
ΕΤ. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν,
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν·
ἦ τἂν πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακά,
οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγώ.
str. 3. ΧΟ. ἱκνεῖται λόγος διὰ στηθέων,

534. Ἀντίμαχος φησὶν Ἀργεῖον αὐτὸν, οὐκ Ἀρκάδα. — τοιοῦτός ἐστιν οἷον ἐγὼ εἶπον. 535. ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν. 537. εἴθε γὰρ παρὰ θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονεύονται, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες. 541. ἄλλο οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. περιφραστικῶς, πολεμικώτατός ἐστιν. 543. ὃς τούτου τὸν κόμπον ἐφέξει τῶν πράξεων ἀποδέοντα μὴ ἔσω πυλῶν γενέσθαι. (545) τὸν φέροντα τὴν Σφίγγα. 548. ἡ ἀσπίς, ἢ ἡ Σφίγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κρουσμῷ. 550. ὁ λόγος ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικός.

538. ἀνοσίαισ (superscr. οισ) M, (superscr. m). Versum post 539 collocat Doederlein. 541. δὲ δρᾷ Winckelmann. 544. εἴσω Blomfield (ex praecepto Elmsleiano). 545. εἰσαμεῖψαι τεῖχος Francken. 546. εἰκὼ κυροῦσαν Martin. 547. fort. ἔξω μένουσα. 548. κροτησμοῦ rasura mutatum in κροτισμοῦ M. 549. fort. κατορθώσαιμ' ἔπος.

τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται
μεγάλα μεγαληγόρων
κλύων ἀνοσίων ἀνδρῶν. εἶ θεοὶ
θεοὶ τούσδ' ὀλέσειαν ἐν γᾷ.

ΑΓ. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον
ἀλκήν τ' ἄριστον, μάντιν, Ἀμφιάρεω βίαν.
Ὁμολωίσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις προσμόραν ἀδελφεόν,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος

551. κατὰ περίφρασιν ἡ θρίξ. 552. μεγάλα πράγματα ἀκούων. 554. τοὺς πολεμίους. 555. ϛ' (i. e. ἕκτος) (m[1]). 556. Ἀμφιάραος Ὀικλέους τοῦ Μελάμποδος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Ὑπερμήστρας. 557. ἀπὸ Ὁμολωίδος τῆς θυγατρὸς Νιόβης. 559. ἐπεὶ τοὺς Μέλανος ἀπέκτεινεν παῖδας Ἀλκάθουν καὶ Λυκαυγέα (Λυκωπέα Butler). 561. ἐπειδὴ ἐπηράσατο Οἰδίπους μεθ' αἵματος διανείμασθαι αὐτοὺς τὴν βασιλείαν. ταύτην οὖν τὴν Ἐρινὺν ἐπιστένει. — ὑπηρέτην (Gl. super κλητῆρα). — ἱερέα. 563. τὸν ἀξιοθάνατον· ἢ τὸν συμπράκτορα αὐτοῦ. 564. ἀναπτύσσων, ἐτυμολογῶν (ἐτυμολογῶν m) (Gl.). 565. εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκος.

---

551. καὶ τριχὸς ὄρθιος Blomfield. 553. κλύουσ' recc. εἶ θεοὶ (factum ex θεῶι) M, εἴθε γὰρ recc. 554. fort. ὀλέσειαν ἔμπας. 561. λητῆρα H L Ahrens. 562. τ' delendum videtur. 563. προσμόραν eraso accentu in prima syllaba M. αὖθις πρὸς ὁμόσπορον Wellauer, αὖθις προυσελῶν ὁμόσπορον M Schmidt. 564. ὄμμα Schuetz: ὄνομα M. 565. τ' omittit Blomfield.

... στόμα·
... φιλές,
... μεθυστέροις,
ET. ... τοὺς ἐγγενεῖς
... ἐμβεβληκότα;
... βέσει δίκῃ,
... σπουδῆς δορὶ
... γενήσεται;
... χθόνα,
... ὑπὸ χθονός·
... ἐλπίζω μόρον.
... εὔκυκλον νέμων
... δ' οὐκ ἐπῆν κύκλῳ.
... ἀλλ' εἶναι θέλει,
... χαρπούμενος,
... βουλεύματα.
str. ... ἀγαθοὺς ἀντηρέτας
... ὃς θεοὺς σέβει.
... ὄρνιθος βροτοῖς

... τοὺς μεθ' ἡμᾶς ὕστερον λέγειν (l. ... λέγεσθαι. 571. τὰ δάκρυα ... 574. κεραυνῷ γὰρ σχισθεῖσα ... οὗτος γὰρ ἐκεῖ καταποθεὶς ... ἐμάντευεν. 580. βαθεῖαν ... ἀνδρὸς (l. ἀγαθὸς) φύεται λόγος. ... (II p. 362 A) ἀπεδέξατο. 582. ... 583. δυσκατέργαστος γάρ ἐστιν ... συνάγοντος· ἀπὸ μεταφορᾶς τῶν

... M. ... eraso ... M. 572. τε recc.: ... Kirchhl. 575. ὑπὸ χθονός recc.: ... M. γρ. εὔκυκλον νέμων m. 578. ... Kirchh. 584. ξυναλλάσσοντος M, σ ... m.

δίκαιον ἄνδρα τοῖσι δυσσεβεστάτοις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος·
ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται,
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύταισι θερμοῖς καὶ πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν
ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ 'δάμη.
οὕτως δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσιν βίᾳ φρενῶν
τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος συγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμος οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,

τὰς συναλλαγὰς καὶ τὰ συμβόλαια ποιουμένων. — τῆς τύχης ἢ τῆς μαντείας (Gl. m[1]). 587. οὐκ ἄξιος κομίζεσθαι ὁ καρπὸς αὐτῆς. 588. λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία. — γνώμη. 594. οἷον σὺν αὐτοῖς θηραθείς. 599. τοῖς ὁρμῶσι τῇ βίᾳ. 600. ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος. 602. αὐτόν (Gl.). 604. ἀλλ' ὡς μάντις τὸ τέλος εἰδὼς οὐκ εἰς κίνδυνον ἑαυτὸν καθήσει.

---

585. δυσσεβεστάτοις recc.: δυσεβεστέροισ M (superscr. m). 588 delet Valckenarius. 590. ναύτῃσι M. 594. ἐκδίκοις Prien. Versum post 595 collocat Dindorf. 595. δάμη M. 596. οὕτωσ M, οὗτοσ m[1]. δ' delet Brunck. δϊκλέουσ M. 599. ἀνδράσι M. 600. καμπὴν Heimsoeth. 603. ἄθυμον Turnebus. 604. ὥ σφε M, ὥσ σφε m[1].

καλεῖ· λέγει δὲ τοῦτ
ἢ τοῖον ἔργον καὶ θ
καλόν τ' ἀκοῦσαι κ
πόλιν πατρῴαν καὶ
πορθεῖν, στράτευμ
μητρός τε πηγὴν
πατρίς τε γαῖα σ
ἁλοῦσα πῶς σοι
ἔγωγε μὲν δὴ τ
μάντις κεκευθώ
μαχώμεθ', οὐκ
τοιαῦθ' ὁ μάν
πάγχαλκον γ
οὐ γὰρ δοκει
βαθεῖαν ἄλο
ἐξ ἧς τὰ κε
τούτῳ σοφ
πέμπειν ἐ
ΕΤ. φεῦ τοῦ

[illegible] Λοξίου.
[illegible] τε καίρια.
[illegible] Παρθένους βίαν,
[illegible] ξομεν·
[illegible] δ' ἡβῶσαν φύει,
[illegible] οὐ βραδύνεται
[illegible] ἁρπάσαι δόρυ.
[illegible] εὐτυχεῖν βροτούς.
[illegible] λιτὰς
[illegible] πόλις εὐτυχῇ,
[illegible]
[illegible] ἔργων δ' ἔκτοθεν
[illegible] κεραυνῷ.
[illegible] ἐφ' ἑβδόμαις πύλαις
[illegible] κασίγνητον, πόλει
[illegible] τεύχεται τύχας,

567. καθ' ὑπόχ[illegible] κλύειν) ταῦτα καλόν ἐ[illegible] τῆς πατρίδος ποία π[illegible] ἔλαβεν αὐτόν. ὑπὸ τῆς γῆς ὕστερ[illegible] ἔχων τὴν ἄλοχα τ[illegible] τοῦτο ὁ Πλάτων ἐ[illegible] τροπικῶς ὡς ἐπ[illegible] ὅστις τοὺς θεοὺς

[illegible] παρέπεται καρπός, εἰ ταῖς [illegible] 606. παραδιαζευκτικὸς [illegible] 607. περιφραστικῶς τὸν Λα- [illegible] ὅπως εὐτυχῇ, τὰ ἀπὸ τοῦ [illegible] ἐπελθόντας τρέποντες. 616. [illegible] τῶν τειχῶν διαφθερεῖ ἐν (l. δια- [illegible] 618. ζ (i. e. ἕβδομος) ὁ

---

571. πληγὴν [illegible] δὲ M. 574. ἐπιχθονὸσ M. fort. ἐπὶ ἣν κύτει superscr. m. [illegible]

[illegible] post 609 Weil). 609. φύει Wel- [illegible] 610. οἶμα Weil. χειρὶ Har- [illegible] 613 sq. δικαίασ λιτὰσ ἡμετέρασ M, [illegible] 615 sq. ἐκτρέποντεσ | γᾶσ ἐπιμό- (εἰς above the line) [illegible] εἰς ἐπιμόλους Seidler. 618. [illegible] τὸν πύλαις ἐφ' ἑβδόμαις. 620. [illegible] scripsit et οἱ in οἱ mutavit m[1])

ς ἐπεμβὰς κἀπικηρυχθεὶς χθονί,
ιον παιᾶν' ἐπεξιακχάσας,
ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ζῶντ' ἀτιμαστῆρα τὼς ἀνδρηλάτην
γῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ' ἀυτεῖ καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βίᾳ.
ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος
διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη.
Δίκη δ' ἄρ' εἶναι φησίν, ὡς τὰ γράμματα
λέγει· κατάξω δ' ἄνδρα τόνδε καὶ πόλιν
ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφάς.
τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ' αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖ·
ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψῃ, σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.

622. ἐκβοήσας (Gl.). — ἐπινίκιον παιᾶνα ἐπεξαλαλάξας μετὰ ἰαχῆς. οὕτως καὶ ὁ Ἴακχος λέγεται παρὰ (τὰς add. m[1]) ἰαχὰς τῶν μυουμένων. 623. συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανὼν ἐγγύς. 627. τούτων οὖν αὐτῶν (ταῦτα. οὖν ἀυτῶν Kirchhoff) βοηθοὺς γενέσθαι τοὺς θεοὺς ἐπεύχεται παντελῶς τῇ βίᾳ αὐτοῦ ὁ Πολυνείκης. 629. γρ. εὔθετον, ἵν' ᾖ εὐβάστακτον. θεῖναι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν Ἀττικοί. καὶ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἀνέλαβον. — σημείωσαι. 631. ὁπλίτην. 638. ἀντὶ τοῦ ἐμοὶ ὧν ἀπήγγειλα. 639. περιέπειν, πεφροντικέναι.

---

624. τῶσ corr. in τὼσ M. ἀνδρηλατῶν Blomfield. 628. βία M. βίαι m. 629. εὔθετον schol.: εὔκυκλον M. 634. λέγει recc.: λέξει (έ in rasura scripsit m) M. 635. τ' inseruit M, non m, ut videtur. 637. δόκεῖ (sed priore accentu deleto) M.

εἰ καρπὸς ἔσται θεσφάτοισι
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ [illegible]
ὅμως δ' ἐπ' αὐτῷ φῶτα,
ἐχθρόξενον πυλωρὸν ἀντι-
γέροντα τὸν νοῦν, σάρκα
ποδῶκες ὄμμα, χεῖρα δ'
παρ' ἀσπίδος γυμνωθὲν [illegible]
θεοῦ δὲ δῶρόν ἐστιν ε [illegible] *ων.*
antistr. 3. ΧΟ. *κλύοντες θεοὶ δικαίας* [illegible] *ρῆν*
ἡμετέρας τελεῖθ', ὡς [illegible] *τόδ' ἦν·*
δορίπονα κάκ' ἐκτρέπ [illegible] *κότον,*
τες γᾶς ἐπιμόλους· π [illegible] *τά πω,*
βαλὼν Ζεύς σφε κά [illegible] *τος,*
ΑΓ. *τὸν ἕβδομον δὴ τὸν* [illegible]
λέξω, τὸν αὐτοῦ σ [illegible] *κακουχίᾳ·*
οἵας ἀρᾶται καὶ κα [illegible] *ειν πέλας,*
[illegible] *ώνυμος*

605. *εἰ φύει ἀλήθειαν τὸ μάν* [illegible] *τοῦ Ἀπόλλωνος μαντείαις τέλος* [illegible] *ἀντὶ τοῦ καί, καὶ λέγειν τὰ καίρ* [illegible] *σθένη τὸν ἰσχυρόν.* 614. *ἐ* [illegible] *πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ* [illegible] *ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς* [illegible] *φθείρειεν) κεραυνῷ ἐπὶ ταῖς* [illegible] *Πολυνείκης* (m[1]).

239 Plat. Phaedon. p. 108 A (Stob. Ecl. I 49, 58 p. 434, 26 ed. Wachsm.) *ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμον φησὶν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι.* Dionys. Hal. Rhet. c. 6, 5 vol. V p. 265 *μία γὰρ καὶ ἡ αὐτὴ οἶμος κατὰ τὸν Αἰσχύλον εἰς Ἅιδου φέρουσα.* Clem. Alex. Strom. IV p. 583 *οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, ὁδοὶ δὲ πολλαὶ καὶ ἀπάγουσαι ἁμαρτίαι.* Mysis hunc locum vindicat Wagner.

240 Hesych. *ἀμφιδεξίοις χερσί· ταῖς τῶν τοξοτῶν (τόξων* cod.) *διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ.* Cfr. *ἀμφιδεξίοις ἀκμαῖς* Soph. O. R. 1243.

---

240 *χερσὶν ἀμφιδεξίοις* Aeschylum scripsisse suspicatur Nauck.

Fuerunt qui fabulam satyricam putarent, ut Friebel satyrogr. Gr. fr. p. 131sq. De mysteriis hac fabula evulgatis vide supra ad *Ἱερείας* p. 514, de persona Actaeonis Poll. IV 141 *τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος κτέ.* Vide etiam ad fr. 333.

241

οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα
κενὸν πόνον πονοῦντ' ἔπεμψεν ἐς δόμους.

Ex prologo haec repetita videntur.

242. 243

⟨ΑΚΤ.⟩ ⏑ ταῖς ⏑ ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μη βλεμμάτων ῥέπει βολή.

* * * * *

νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη·
ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

241 Anecd. Bekk. p. 351, 9 *ἄθηρος ἡμέρα.. ὁ χρησάμενος τῇ φωνῇ καὶ τῇ φράσει Αἰσχύλος ἐστὶν ἐν Τοξότισι* (*τοξότῃσι* cod.). *πρόσεστι δὲ τὸ σεμνὸν τῆς λέξεως καὶ τὸ πολιτικόν. λέγεται δὲ ἐπὶ Ἀκταίωνος »οὔπω.. πόνου πλουτοῦντ'.. δόμους«. ἐγγράφων χρῶ, φησὶν ὁ Φρύνιχος.*

242. 243 Antigonus Hist. mir. c. 115 *τῶν δὲ θηλέων ζῴων ῥοπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον καὶ ἱππομανεῖν ἰσχυρῶς, ὅθεν καὶ πρὸς τὴν βλασφημίαν ἀπὸ τούτου μεταφέρεσθαι*

---

241 V. 1 *Ἀκτέων'* Dindorf. V. 2 *πόνον πονοῦντ'* pro *πόνου πλουτοῦντ'* Gomperz.

242 V. 1 *ὡς ταῖσιν* vel *ταῖς μὲν γὰρ* Conington. *αἰδοῖ γὰρ* Bothe, *κάτω γὰρ* Toup (*ἐν ταῖς Τοξότισιν· ἄδων ταῖς* apud Antigonum legentes). — V. 2 *λέκτρων ἀγεύστοις* Toup, *λέκτρων ἀπείροις* Heath. — *ῥέπει βολή* pro *ῥεπιβουλη* Salmasius.

243 V. 1 *γυναικὸς δ'* Gataker. — V. 3 *ἔχω δὲ* Salmasius, *ἔχοντα* Welcker.

244

κύνες διημάθυνον ἄνδρα δεσπότην

Dicit famulus interitum eri nuntians.

245

Poll. V 47 *τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν Κόραξ Ἅρπυια* (*ἀραία* A) *Χάρων Λυκόττας*.

246

πεζοφόροις ζώμασιν

ΤΡΟΦΟΙ vide *ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.*

ΥΨΙΠΥΛΗ.

Schol. Apoll. Rh. I 769 *ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς.*

καὶ τὰς πρὸς τὰ ἀφροδίσια κεκινημένας ὀνειδίζεσθαι. φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς (*ἱστορηκὼς* O Crusius) *τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν ἄδων* (*ᾄδων* Conington). »*ταῖς* .. *ῥεπιβούλῃ*« *καὶ διαλιπὼν προσέθηκεν* »*οὔ με* .. *ἱππογνώμονα*«. Plut. Amator. c. 21 p. 767 B *καὶ γὰρ Αἰσχύλος ὀρθῶς ἐποίησε* »*νέας* .. *γεγευμένῃ*«, Mor. p. 81 D »*νέας μὲν γὰρ γυναικός, ὥς Αἰσχύλος φησίν, οὔ τι λανθάνει φλέγων ὀφθαλμός* .. *γεγευμένῃ*«. Etym. M. p. 209, 47 *ἀπὸ δὲ τοῦ ἵππου ἱπποσέλινον καὶ* »*θυμὸν ἱππογνώμονα*« *τὸν μεγαλογνώμονα*, p. 474, 43 (Etym. Flor. ed. Miller p. 171) *εἴωθε γὰρ ἡ προσθήκη τῶν τοιούτων ζῴων τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν ὡς* »*θυμὸν ἱππογνώμονα*« *τὸν μεγάλης γνώμης, καὶ βούπαις*. Cfr. etiam schol. Soph. Ai. 143.

244 Schol. Hom. I 593 *ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν φιλῶς τέταχε* (scil. *τὸ ἀμαθύνειν*) *περὶ τοῦ Ἀκταίωνος λέγων* »*κύνες* .. *δεσπότην*«.

246 Hesych. *πεζοφόροις ζώμασιν. Αἰσχύλος Τοξότισιν, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων· τινὲς δὲ ποδήρεσι. ζῶμα δὲ τὸ ἔνδυμα.* Phot. lex. p. 405, 15 *πεζοφοροῦσιν* (corruptum ex *πεζοφόροις*)· *ἤτοι πέζαν ἐχόντων τῶν χιτώνων ἢ τοῖς ποδήρεσιν.* Poll. VII 51 *τὸ δὲ ζῶμά ἐστι μὲν ἐπιτήδειον ἐνδῦναι, πέζας δὲ ἔχει, ὡς Αἰσχύλος δηλοῖ πεζοφόρα τὰ ζώματα ἀποκαλῶν*, VII 63 *οἱ δὲ πεζοφόροι χιτῶνες ἢ οἱ ποδήρεις ἢ οἱ πέζας ἔχοντες.*

Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις ἀπείργειν, μέχρι λαβεῖν ὅρκον παρ' αὐτῶν ἀποβάντας μιγήσεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν ταῖς Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτοὺς (l. *αὐτὰς*) *συνάψαι φησίν.* Cfr. supra ad *Καβίρους* p. 519 et *Νεμέαν* p. 545. Ad hanc fabulam fr. 289 pertinere suspicatus est Valckenaer, (fr. 20 Butler).

247

Ὑψώ

248

ἀποχορσωσαμέναις

ΦΙΛΟΚΤΗΤΗΣ.

Argum. Soph. Phil. *κεῖται καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιία.* Aspasius in Arist. Eth. Nic. ed. VRose Herm. V p. 105, GHeylblut p. 133 *οὐ γὰρ εἴ τις ὑπερβαλλουσῶν ἀλγηδόνων ἡττᾶται ἢ λυπῶν, θαυμάσιον ἀλλὰ συγγνώμης ἄξιον, οἷον εἴ τις ὥσπερ ὁ παρὰ τῷ Θεοδέκτῃ Φιλοκτήτης ὑπὸ τῆς ἔχεως πεπαρμένος κρύπτειν βουλόμενος τοὺς περὶ τὸν Νεοπτόλεμον μέχρι μέν τινος ἀνέχει* (*ἀντέχει* Nauck), *ὕστερον δὲ οὐχ ὑπομένων τὸ μέγεθος τῶν ἀλγηδόνων φανερὸς γίνεται. τὸν αὐτὸν δὲ τρόπον εἰσήγαγεν αὐτὸν καὶ Σοφοκλῆς* (Phil. 732 sqq.) *καὶ Αἰσχύλος.* De Aeschyli Philocteta v. Hermann opusc. III p. 113 sqq., Schneidewin Philol. IV p. 650, Welcker Tril. p. 563, Kl. Schriften IV p. 180 sqq., Gr. Trag. p. 39 sqq., qui temere trilogiam ex fabulis *Λήμνιοι* (*ἢ Φιλοκτήτης*), *Φιλοκτήτης* (*ἐν Τροίᾳ*), *Πέρσις* componit (cfr. Hermanni dissertationem »non videri Aeschylum *Ἰλίου πέρσιν* scripsisse« Opusc. VIII p. 129 sqq.), Nitzsch Sagenpoesie p. 644 sqq.,

247 Vide ad fr. 212.

248 Hesych. *ἀποχορσωσαμέναις. ἀποκειραμέναις· χόρσας γὰρ τρίχας. Αἰσχύλος Ὑψιπύλῃ* (*ὑψηπούλη* cod.).

N Wecklein, Über die Stoffe und die Wirkung der Gr. Tragoedie. München 1891 p. 7 sqq. Aeschyli et Sophoclis et Euripidis Philoctetas inter se comparavit Dio Chrys. or. 52, cuius verba emendavit Hermann l. l. p. 113 sq. Dio de argumento trium fabularum: *ἦν γὰρ ἡ τῶν Φιλοκτήτου τόξων εἴτε κλοπὴ εἴτε ἁρπαγὴ δεῖ λέγειν κτέ.*, de Aeschyli fabula haec dicit: *ἥ τε γὰρ τοῦ Αἰσχύλου μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔθαδες τῆς διανοίας καὶ φράσεως πρέποντα ἐφαίνετο τραγῳδίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων, οὐδὲν ⟨ἔχοντα⟩ ἐπιβεβουλευμένον οὐδὲ στωμύλον οὐδὲ ταπεινόν· ἐπεί τοι καὶ τὸν Ὀδυσσέα εἰσῆγε δριμὺν καὶ δόλιον ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας. καὶ οὐδέν γε ἀλλαττούσης τῆς Ἀθηνᾶς προσεδεήθη πρὸς τὸ μὴ γνωσθῆναι ὅστις ἐστὶν ὑπὸ τοῦ Φιλοκτήτου, καθάπερ Ὅμηρος κἀκείνῳ δὴ ἑπόμενος Εὐριπίδης ἐποίησεν· ὥστε τυχὸν ἄν τις ἐγκαλέσαι τῶν οὐ φιλούντων τὸν ἄνδρα, ὅτι οὐδὲν αὐτῷ ἐμέλησεν ὅπως πιθανὸς ἔσται ὁ Ὀδυσσεὺς οὐ γιγνωσκόμενος ὑπὸ τοῦ Φιλοκτήτου .. καὶ μὴν ὁ χορὸς αὐτῷ παραιτήσεως ὥσπερ ὁ τοῦ Εὐριπίδου οὐδὲν ἐδεήθη· ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν. ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ. ὁ δὲ Αἰσχύλος ἁπλῶς εἰσήγαγε τὸν χορόν, ὃ τῷ παντὶ τραγικώτερον καὶ ἁπλούστερον· τὸ δ' ἕτερον πολιτικώτερον καὶ ἀκριβέστερον .. οὐ τοίνυν οὐδὲ ἐκεῖνο δοκεῖ μοι δικαίως ἄν τις αἰτιάσασθαι, τὸ διηγεῖσθαι πρὸς τὸν χορόν, ὡς ἀγνοοῦντα τὰ περὶ τὴν ἀπόλειψιν τὴν τῶν Ἀχαιῶν καὶ τὰ καθόλου συμβαίνοντα αὐτῷ .. καὶ μὴν ἡ ἀπάτη ἡ τοῦ Ὀδυσσέως πρὸς τὸν Φιλοκτήτην καὶ οἱ λόγοι, δι' ὧν προσηγάγετο αὐτόν, οὐ μόνον εὐσχημονέστεροι καὶ ἥρωι πρέποντες, ἀλλ' οὐκ Εὐρυβάτῳ ἢ Παταικίωνι, ἀλλ' ὡς ἐμοὶ δοκοῦσι, καὶ πιθανώτεροι. τί γὰρ ἔδει ποικίλης τέχνης καὶ ἐπιβουλῆς πρὸς ἄνδρα νοσοῦντα καὶ ταῦτα τοξότην, ᾧ εἴ τις μόνον ἐγγὺς παρέστη, ἀχρεῖος ἡ ἀλκὴ αὐτοῦ*

ἐγεγόνει; καὶ τὸ ἀπαγγέλλειν δὲ τὰς τῶν Ἀχαιῶν συμφορὰς καὶ τὸν Ἀγαμέμνονα τεθνηκότα καὶ τὸν Ὀδυσσέα ἐπ' αἰτίᾳ ὡς οἷόν τε αἰσχίστῃ καὶ καθόλου τὸ στράτευμα διεφθαρμένον οὐ μόνον χρήσιμον, ὥστε εὐφρᾶναι τὸν Φιλοκτήτην καὶ προσδέξασθαι μᾶλλον τὴν τοῦ Ὀδυσσέως ὁμιλίαν, ἀλλ' οὐδ' ἀπίθανα τρόπον τινὰ διὰ τὸ μῆκος τῆς στρατείας καὶ διὰ τὰ συμβεβηκότα οὐ πάλαι κατὰ τὴν ὀργὴν τὴν τοῦ Ἀχιλλέως, ὅθ' Ἕκτωρ παρὰ μικρὸν ἦλθεν ἐμπρῆσαι τὸν ναύσταθμον .. οὐ μόνον δὲ πεποίηκε (scil. Εὐριπίδης) τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους, ὁμηρικῶς καὶ τοῦτο. Quem Accius in Philocteta potissimum imitatus sit, incertum. Cfr. Ribbeck, Die Röm. Trag. p. 377. Ad hanc fabulam pertinuisse fr. (361 suspicatur Butler), 332 Hermann, (302, 322) 352, 353 Hartung. Fragmentum, quod Plut. adv. Coloten c. 2 p. 1108 B asservavit, Cicero de or. III 35, 141 et Quint. Inst. or. 3, 1, 14 ex fabula Philocteta sumptum esse significant,

ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ
αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν,

Euripidis esse monuerunt Grotius et Gataker. Aliud fragmentum ex fabula Philocteta excerptum

τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας,

quod habet Plut. an seni sit gerenda resp. c. 9 p. 789 A ὁ γαμεῖν παρασκευαζόμενον γέροντα ἐστεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων καὶ λέγων τὰ πρὸς τὸν Φιλοκτήτην »τίς .. τάλας« οὐκ ἄτοπός ἐστι et vit. Sol. c. 20 ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην »εὖ γ' οὖν .. τάλας«, alii poetae alius tribuit (Aeschylo priores editores, Euripidi Musgrave, Sophocli Hermann, Strattidi comico Matthiae), tribuendum esse videtur Antiphonti, cuius vide fr. 3 p. 793 N.

249

Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί

»Philoctetes mala sua lamentaturus ita infit« (Hermann).

250

⟨ΦΙΛ.⟩ *ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ.*

251. 252

⟨ΦΙΛ.⟩ *οὐ γὰρ δακὼν ἀνῆκεν, ἀλλ' ἐνῴκισεν*
δεινὴν στομάτων ἔκφυσιν, ποδὸς βλάβην

* * * * *

φαγέδαιν' ἀεί μου σάρκας ἐσθίει ποδός

249 Aristoph. Ran. 1383 *ΕΥΡ. εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος. ΑΙΣΧ. »Σπερχειὲ .. ἐπιστροφαί«*, schol. *ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι. ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.*

250 Suidas *»ἔνθ' .. ἐᾷ«, ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων. φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.* Versus proverbialis apud Plut. Mor. p. 476 B. Cfr. Ps.-Diogen. IV 88. Greg. Cypr. Mosq. 3, 20. *οὔτ' ἐκπλεῖν* cum Suida Diogen., ceteri *οὔτε πλεῖν*. Aristaenetus I 27 *ἔνθα, φασίν, ἄνεμος οὔτε μένειν οὔτε πλεῖν ἐᾷ.*

251 Plut. Mor. p. 1087 F *μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός· »οὐ γὰρ ὁ δράκων«, φησίν, »ἀνῆκεν .. ἔκφυσιν* (*ἔμφυσιν* Harl.) *ποδὸς λαβεῖν* (alii libri *λάβεν*)«.

252 Aristot. Poet. c. 22 p. 1458 b 23 *τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε »φαγέδαινα* (alii libri *φαγάδαινα, φαγάδενα*) *ἥ μου .. ποδός«, ὃ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκεν* (i. e. *σάρκα θοινᾶται ποδός* scripsit Euripides).

---

251 V. 1 *οὐ γὰρ δράκων* Valckenaer, *οὐ γὰρ δακὼν* Musgrave. — V. 2 *ὀδόντων* Heath et Jacobs, *στομωτὸν* Hermann. — *ἔκπτυσιν* Herwerden. — *βλάβην* pro *λαβεῖν* (*λάβεν*) Schneidewin.

252 *φαγέδαιν' ἀεί μου* pro *φαγέδαινα ἥ μου* Boissonade (*φαγέδαινα δή μου* Pauw, *φαγέδαιναν ἥ μου* Butler).

253

κρεμάσας ⏑ τόξον πίτυος ἐκ μελανδρύου

254

⟨*ΦΙΛ.*⟩ *ὦ πούς, ἀμήσω σε*

255

⟨*ΦΙΛ.*⟩ *ὦ θάνατε παιάν, μή μ' ἀτιμάσῃς μολεῖν·*
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

253 Schol. Hom. ξ 12 *ὁ δὲ Κράτης τὴν δασύτητα τῶν φύλλων μελάνδρυόν φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ* »*κρεμάσασα τόξον .. μελανδρύου*«. Eustath. Od. p. 1748, 57 *φέρεται δὲ καὶ Αἰσχύλου χρῆσις ἐν Φιλοκτήτῃ* »*κρεμάσας τόξον .. μελανδρύου*«.

254 Maximus Tyrius XIII p. 241 »*ὦ πούς, ἀφήσω σε*« *ὁ Φιλοκτήτης λέγει. ἄνθρωπε, ἄφες καὶ μὴ βόα μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις μηδὲ ἐνόχλει τὴν Λημνίων γῆν.* »*ὦ θάνατε παιάν*« (fr. 255, 1). *εἰ μὲν ταῦτα λέγεις ἀλλαττόμενος κακὸν κακοῦ, οὐκ ἀποδέχομαι τῆς εὐχῆς.*

255 Stob. flor. 120, 12 *Αἰσχύλου* (sic SA, eclogam om. M). »*ὦ θάνατε .. μόνος γὰρ* (*γὰρ* om. SA) *εἶ .. νεκροῦ*«. Cfr. Plut. Mor. p. 106 D *τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών·* »*ὦ θάνατε παιάν, ἰατρὸς μόλοις*« (*πῶς ἂν ἰατρὸς μόλοις* Cobet), Theodor. Metoch. p. 347 *τὸ τοῦ Αἰσχύλου φθέγγεσθαι, ὦ θάνατε παιάν, ἰατρὸς μόλε*, Plut. Mor. p. 109 F *ἄλγος γὰρ ὄντως οὐδὲν ἅπτεται νεκροῦ.* Soph. O.C. 955 *θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται*, Eur. Alc. 937 *τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε.*

---

253 *κρεμάσας τὸ τόξον* Bothe, *κρεμαστὰ τόξα* Hermann, *κρεμάσας δὲ τόξον* Nauck.

254 *ἀμήσω* pro *ἀφήσω* scripsi. Cfr. Soph. Phil. 749.

256

ὀκορνούς

257

φαβῶν

ΦΙΝΕΥΣ.

In catalogo non commemoratur. Vide supra ad Glaucum Potniensem p. 492. Ad Harpyiarum et Argonautarum fabulam (cfr. Apollod. I 9, 21) spectant fr. 258, 258a, 260. Cfr. Welcker Tril. p. 477 sqq. et quas supra p. 489 de Glaucis collegimus commentationes. Hesych. *καταράκτης· ὀχετός, ῥύαξ. καὶ ὁ ἀετός. Σοφοκλῆς Λαοκόωντι* (*λαοκόοντι* cod.) *καὶ ταρπυίας ἐν φίνῃ*, ubi *καὶ τὰς ἁρπυίας ἐν Φινεῖ* restituit Musurus, W H van de Sande Bakhuyzen de parodia in comoed. Aristoph. p. 189 *καὶ ἡ ἅρπυια Αἰσχ. Φινεῖ* coniecit.

258

⏑ – *ἄνηστις δ' οὐκ ἀποστατεῖ γόος*

256 Phot. lex. p. 326, 9 *ὀκορνούς· τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ· οἱ δὲ Ἴωνες ἀττελέβους.* Hesych. *ὀκορνούς· τοὺς ἀττελέβους. καὶ τὰ ἀκριώδη* (*ἀκριδώδη* Guyetus, *ἀκρίδια* Pierson) *οὕτω λέγουσιν.*

257 Athen. IX p. 394 A *κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν* (scil. *Αἰσχύλος*).

258 Ex Etymologici Magni libro Vaticano 1818 et Florentino edidit R Reitzenstein Inedita poet. Gr. fr. Ind. lect. Rost. 1890 p. 4 *ἄνηστις· ὁ ἄσιτος· Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ* »*φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις*« (fr. 45 Ko.) *καὶ Αἰσχύλος ἐν Φινεῖ* »*ἄνηστις . . γόος*« (verba *ἐν Φινεῖ . . γόος* omisit cod. Flor.). *παρὰ τὸ ἔδω ἐστός, παρώνυμον ἔστις, ὡς πιστὸς πίστις, καὶ κατὰ σύνθεσιν ἄνεστις καὶ ἄνηστις. ἢ παρὰ τὸ νῆστις ἄνηστις, ὁ ἐστερημένος σιτίων· οὕτως Ἡρωδιανὸς περὶ παθῶν.*

258a

⟨ΦΙΝ.⟩ καὶ ψευδόδειπνα πολλὰ μαργώσῃ γνάθῳ
ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ

259

πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις

260

Philodem. de pietate p. 18 *Αἰσχύλος δ' ⟨ἐν Φινεῖ⟩ καὶ Εὔβυ⟨χος καὶ Τε⟩λέστης ⟨ποιοῦσιν⟩ τὰς Ἁρπ⟨υίας θνῄσκ⟩ούσας ὑπ⟨ὸ τῶν Βορέου παί⟩δων.* Supplevit Gomperz.

ΦΟΡΚΙΔΕΣ.

Aristot. Poet. c. 18 p. 1456 a 2 *τὸ δὲ τερατῶδες οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν Ἅιδου.* De mytho ad Perseum pertinente cfr. schol. Apoll. Rh. IV 1515. In

258a Athen. X p. 421 F *ὁ δ' Εὐριπίδης φησί »φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα« .. Αἰσχύλος τ' ἐν Φινεῖ »καὶ .. μαργώσης γνάθου εῤῥυσιας οἷον στόματος ἐν πρωτιοχαραι«.*

259 Poll. VII 91 *ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φινεῖ* (sic corr. MSchmidt Philol. XVIII p. 228 verba ad Boreadum Harpyias venantium calceamentum spectare ratus, *φρυνὶ* A, *φοινίσσαις* vulgo, *Φρυξὶ* Bekker) *Αἰσχύλος »πέλλυτρ' . . ἀρβύλαις«.* Poll. II 196 *ποδεῖα τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας, ἅπερ Αἰσχύλος πέλλυτρα καλεῖ* et X 50 *πέλλυτρα· οὕτω γὰρ τὰ ποδεῖα Σοφοκλῆς* (debebat *Αἰσχύλος* dicere) *καλεῖ.* Cfr. Hesych. *πέλλυτρα.* Ad Phoenissas Phrynichi olim (Opusc. VII p. 191) hoc fragmentum referebat Hermann.

258a V. 1 *μαργώσῃ γνάθῳ* pro *μαργώσης γνάθου* Nauck (*μαργώσαις γνάθοις* Hartung). — V. 2 *ἐρρυσίαζον* pro *ἐρρυσιας οἷον* Lobeck. — *πρώτῃ χαρᾷ* pro *πρωτιοχαραι* Musurus.

catalogo didascaliarum tragicarum Corp. I. Att. II Nr. 973, 30 sq. *Φορκίδες* commemorantur ut fabula satyrica alicuius poetae posterioris aetatis: fortasse etiam Aeschyli fabula satyrica fuit. Vide supra p. 496 ad *Δικτυουλκούς*.

261

ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς

262

Erastoth. Catast. c. 22 *Περσεύς .. δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος φησὶν ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν Φορκίσιν. ἃς* (*Γραίας* Gale) *εἶχον προφύλακας αἱ Γοργόνες*. Hygin. Poet. astr. II 12 p. 445 *sed ut ait Aeschylus tragoediarum scriptor in Phorcisi, Graeae fuerunt Gorgonum custodes.* Schol. Germ. Caes. Arat. p. 82, 15 *Aeschylus harpen adamantinam a Volcano dicit eum* (scil. Perseum) *accepisse.*

ΦΡΥΓΕΣ [*ἢ ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ*].

Titulus *Φρύγες ἢ Ἕκτορος λύτρα* commemoratur etiam in catalogo. Cfr. Hippenstiel l. l. p. 34 sqq. De trilogia cuius extrema haec fabula fuerit, vide supra p. 536 ad Myrmidones. De argumento cfr. schol. Hom. *Χ* 351 *ὑπερβολικῶς λέγει· ὁ δὲ Αἰσχύλος ἐπ' ἀληθείας ἀντίσταθμον χρυσὸν πε-*

261 Athen. IX p. 402 B *οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ τούτῳ σύί φησιν »ἔδυ .. ὥς«*. Eustath. Od. p. 1872, 3 *ὁ δὲ σῦς, ὡς καὶ αὐτὸ ἐν ῥητορικῷ κεῖται λεξικῷ* (Aelii Dionysii), *καὶ ἀσχέδωρος λέγεται. φησὶ γάρ· ἀσχέδωρος ὁ σύαγρος παρὰ Ἰταλιώταις .. χρῆσις δέ, φασίν, ἀσχεδώρου παρ' Αἰσχύλῳ διατρίψαντι ἐν Σικελίᾳ καὶ εἰδότι· φησὶ γὰρ »ἔδυ .. ὥς«*. Hesych. *ἀσχέδωρος· ὁ σύαγρος παρὰ Ἰταλοῖς.*

---

262 Aeschylus fortasse dixit: *ἀδαμαντίνην ἅρπην παρ' Ἡφαίστου λαβών.*

ποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. Aliud scholion *ὁ μέντοι Αἰσχύλος Ἕκτορος λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο.* Cfr. CRobert, Bild und Lied p. 96 n. 28. De nomine chori *Φρύγες* i. e. Troiani cfr. Welcker Tril. p. 425, Hermann opusc. V p. 156. Ad hoc nomen sive ad titulum fabulae fr. 446 spectare videtur. De accessu et carminibus chori cfr. Athen. I p. 21 F *Ἀριστοφάνης γοῦν, παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις, ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα »τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν« καὶ πάλιν »τοὺς Φρύγας οἶδα θεωρῶν, ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα, πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας«.* Initio fabulae Achilles pauca cum Mercurio de Priamo ad Achillem deducto collocutus diu silet velato capite. (Alia fingit Fritzsche ad Aristoph. Ran. 912). De hoc silentio vide locos supra ad *Νιόβην* p. 549 et ad Myrmidones p. 536 allatos Aristoph. Ran. 911 sqq., Vita Aesch., schol. Aesch. Prom. 452, schol. Aristoph. Ran. 911. Ad hanc fabulam pertinuisse putat fr. (259 Bekker), 296 Hermann, 322 Welcker, (380 Wagner). Ei sermoni qui inter Priamum atque Achillem fuit vindicat Hermann (cfr. opusc. V p. 159 sq.) ex Stob. flor. 4, 15 et 4, 19, quod ibi (4, 21) versui heroico *πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν* lemma *Αἰσχύλος ἐν Φρυξίν* praescriptum est, mutata versuum notatione duo fragmenta:

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν·
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν
εἰς πημονὰς καθῆκε πολλὰ δὴ βροτούς.

Haec coniectura maxime est incerta, nisi quod, ut Nauck putat, versus *οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν* Aeschylo recte tributus esse videtur. Atque huic fragmento apud Stobaeum inter duos versus Chaeremonis (Nauck p. 789 fr. 25 et 26) translato illud *Αἰσχύλος ἐν Φρυξί* praeponendum videtur, quia *ποδώκη* alludit ad *ποδώκεα Πηλείωνα.*

263

ἀλλὰ ναυβάτην
φορτηγὸν ὅστις ῥῶπον ἐξάγει χθονός

Haec verba ad Priamum spectantia Achilles Mercurio dicere videtur (in prologo), non Mercurius Achilli quae aliorum sententia est.

264

Ἀνδραίμονος γένεθλον ⟨ἦν⟩ Λυρνησσίου,
ὅθεν περ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην.

Haec Priamus narrare videtur in primo episodio.

265

⟨ΠΡΙΑΜ.⟩ ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων

His verbis mite olim Hectoris ingenium praedicat Priamus. Cfr. Victor Hehn Kulturpflanzen u. Haustiere p. 315.

263 Poll. VII 131 τῷ μέντοι φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ ⟨Ἕκτορος⟩ λύτροις »ἀλλὰ .. χθονός«.

264 Schol. Eur. Androm. 1 τὴν ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην .. ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων »Ἀνδραίμονος (ἀνδρέμονος MN) .. περ Ἕκτωρ (sic M, παρ' ἕκτορος GT) .. φίλην« (ἤγαγε φίλην M, φίλην ἤγαγεν NO).

265 Athen. II p. 51 C μόρα δὲ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος »ἀνὴρ .. μόρων«. Eustath. Il. p. 211, 16 πεπαίτερον, ὅπερ ἐστὶν ὡριμώτερον. Αἰσχύλος »ἀνὴρ .. μόρων«. Phot. lex. p. 275, 19 μόρον· τὸ συκάμινον. Αἰσχύλος. Meineke contulit Theocr. VII 120 ἀπίοιο πεπαίτερος.

---

263 Sensus fuisse videtur: οὐκ ἄνδρ' ὁρῶ σκηπτοῦχον, ἀλλὰ ναυβάτην φορτηγὸν κτέ.

264 V. 1 ἦν supplevit Dindorf.

266

⟨ΠΡΙΑΜ.⟩ *καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν*
εἴτ᾽ οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει
τὸ μήτε χαίρειν μήτε λυπεῖσθαι φθιτούς.
ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ᾽ ὑπερτέρα
καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον.

267

διαπεφρούρηται βίος

Haec dicere videtur in stichomythia Achilles Priamo respondens ad verba *φρούρει βίον*. Cfr. Sept. 1038.

268

ἀγαστά

269

ἀδίοπον

266 Stob. flor. 125, 7 *Αἰσχύλου Ἕκτορος* »*καὶ* . . *εὐεργετεῖν ὃ γοῦν κακουργεῖν* . . *ἔχει καὶ μήτε* . . *λυπεῖσθαι βροτούς* . . *κότον*«.

267 Hesych. *διαπεφρούρηται βίος. Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ* (*φθορὰ* cod.) *συντετέλεσται, ἢ διελήλυθεν ὁ χρόνος.*

268 Hesych. *ἀγαστά· ἃ ἄν τις ἀγάσαιτο, οἷον ἀρεστά. Αἰσχύλος Φρυξίν* (*φρα*ζ´ cod., corr. Meursius). *ἀγατά* ex literarum serie repetit Alberti.

269 Hesych. *ἀδίοπον· ἄναρχον καὶ ἀφύλακτον. Αἰσχύλος Φρυξί. δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες.* Eadem in Anecd. Bekk. p. 344, 8, nisi quod verba *Αἰσχύλος Φρυξί* desunt. Cfr. Eust. Il. p. 208, 11 *ἐκ δὲ τούτου οὐ μόνον δίοποι οἱ ἄρχοντες, ὡς καὶ Αἰσχύλος δηλοῖ* (cfr. fr. 232), *ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι. ἀδίοπος γάρ, φασίν, ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες.*

---

266 V. 1 *εἴτε λῇς* pro *εἰ θέλεις* Nauck, malim *εἴτε χρῇς*. Cfr. Hesych. *χρῇς· θέλεις, χρῄζεις.* — V. 2 *εἴτ᾽ οὖν* pro *ὃ γοῦν* Hermann. V. 3 *τὸ* pro *καὶ* scripsi (*τῷ* Salmasius). — *φθιτούς* pro *βροτούς* Hermann. — V. 5 fort. *καὶ τοῦ θανόντος ὕστερον πράσσει κότον.*

270

ἀροτόν

271

ἐπιστροφαί

272

τιτῆναι

ΦΡΥΓΙΟΙ.

Una huius tituli mentio in catalogo. Sunt qui cum Meursio hanc fabulam ab ea quae *Φρύγες* inscribitur non diversam putent (cfr. Hippenstiel l. l. p. 4), Welcker *Φρυγίους* alterum nomen fabulae quae *Ὅπλων κρίσις* inscribitur (Tril. p. 438) vel potius *Φρυγίας* alterum nomen fabulae quam

270 Hesych. *ἀροτόν· τὸν ὁλκὸν τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξί* (*φρυξίς* cod.). MSchmidt putat in *ἀροτόν* latere lemma *ἀνάρροπον* vel *ἀντίρροπον*. Mihi videntur duae glossae coaluisse: *ἀροτόν· τὸν ὁλκὸν τοῦ Ἕκτορος* (scil. circa Patrocli tumulum). *ἀντίρροπον· ἀντίσταθμον*. Fortasse illa ad Nereides, haec ad Phryges (cfr. schol. Hom. *Χ* 351, supra p. 599) vel utraque ad Phryges pertinuit.

271 Hesych. *ἐπιστροφαί· διατριβαί, δίαιται. Αἰσχύλος Φρυξίν*. Huc rettulit Bergk N. Rhein. Mus. VI p. 147 versum ab Eustathio p. 1484, 49 sine poetae nomine servatum: *Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί*. Cum hoc coniungendum esse suspicatur Nauck versum a Strabone XII p. 572 et ab aliis sine poetae nomine commemoratum ita:

χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα
Κίλιξ τε χώρα καὶ Σύρων ἐπιστροφαί.

At cfr. ad Telephum supra p. 588.

272 Hesych. *τιτῆναι· βασιλίδες* (*βασιλδ* cod.). ⟨*Αἰσχύλος Φρυξὶν* supplevit Sopingius⟩ *ἢ Ἕκτορος λύτροις*. Cfr. Hesych. *τιτήνη· ἡ βασίλισσα* et *τίταξ· ἔντιμος ἢ δυνάστης, οἱ δὲ βασιλεύς*.

---

272 *τιτήνῃ· βασιλίδι* apud Hesychium Butler.

Ἰλίου πέρσιν vel *Πέρσιν* vocat (Rhein. Mus. V p. 466 sqq., Gr. Trag. p. 29, supra p. 592), fuisse suspicatur.

ΨΥΧΑΓΩΓΟΙ.

Phryn. Bekk. p. 73, 13 *ψυγαγωγός· οἱ μὲν Ἀλεξανδρεῖς τὸν τῶν παίδων ἀνδραποδιστὴν οὕτω καλοῦσιν, οἱ δ' ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας* (*ἀνάγοντας* Nauck). *τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου τὸ δρᾶμα Ψυγαγωγοί* (*ψυχαγωγός* cod.). Vide supra p. 561 ad *Ὀστολόγους*. Scenam tragoediae aut in Campania aut in Epiro ad lacum Averni fuisse opinatur Fritzsche. Fr. 406 ad hanc fabulam refert Wagner.

273

⟨*ΧΟ.*⟩ *Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν*

274

καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων

275

⟨*ΤΕΙΡ.*⟩ *ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος*
ὄνθῳ σε πλήξει νηδύος χιλώμασιν·

273 Aristoph. Ran. 1266 »*Ἑρμᾶν* .. *λίμναν*«, schol. *Ἑρμᾶν μὲν πρόγονον· ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.* Cfr. Fritzsche in Aristoph. Ran. 380 sq.

274 Poll. X 10 *αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς* »*καὶ* .. *ἐρειπίων*«.

275 Schol. Hom. λ 134 *οἱ νεώτεροι τὰ περὶ Τηλέγονον ἀνέπλασαν τὸν Κίρκης καὶ Ὀδυσσέως, ὃς δοκεῖ κατὰ ζήτησιν τοῦ πα-*

---

275 V. 2 *ὄνθῳ σε πλήξει* Valckenaer, *νηδύος* Meursius pro *ὃν δ' ὡς ἔπληξεν ἡ δ' υἱός. ὄνθῳ σε πλήσει* Meineke Vind. Aristoph. p. 77. *ἐρῳδιὸς γάρ σ'* .. *ὄνθῳ παλάξει* Nauck. — *κενώμασιν* pro *χειλώμασιν* Nauck. — V. 4 *σκήψει παλαιὸν βρέγμα* O Crusius N. Rhein. Mus. 37 p. 310 et Gött. Gel. Anz. 1890 p. 690.

ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος
σήψει παλαιὸν δέρμα καὶ τριχορρυές
Tiresiae esse verba coniecit Valckenaer.

276

σταθεροῦ χεύματος
Stygis quietas aquas significari putat E A J Ahrens.

277

Δαῖρα

278

δρώπτειν

ΨΥΧΟΣΤΑΣΙΑ.

Plut. Moral. p. 17 A ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου (X 210) »ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο· ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ· ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων«, τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ

τρὸς εἰς Ἰθάκην ἐλθὼν ὑπ' ἀγνοίας τὸν πατέρα διαχρήσασθαι τρυγόνος κέντρῳ. Αἰσχύλος δὲ ἐν Ψυχαγωγοῖς ἰδίως λέγει »ἐρρωδιὸς .. ποτώμενος ὅν θ' ὡς ἔπληξεν ἡ δ' υἱὸς χειλώμασιν· ἐκ .. τριχορρυές«.

276 Phot. lex. p. 534, 2 et Suid. v. σταθερόν: σταθερόν .. τινὲς καὶ ἐπὶ ταῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς »σταθεροῦ χεύματος« (apud Suidam χεύματος A, χρήματος ceteri libri).

277 Schol. Apoll. Rh. III 847 ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν. Cfr. Hesych. Δαῖρα· ἡ αὐτὴ τῇ Δαείρᾳ.

278 Hesych. δρώπτειν· διακόπτειν ἢ διασκοπεῖν. Αἰσχύλος Ψυχαγωγοῖς.

περιέθηκεν ἐπιγράψας Ψυχοστασίαν καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν Θέτιν, ἔνθεν δὲ τὴν Ἠώ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. Schol. Hom. Θ 70 (cfr. Eust. Il. p. 699, 31) *κῆρε.. τὰς θανατηφόρους μοίρας λέγει· ὁ δὲ Αἰσχύλος, νομίσας λέγεσθαι τὰς ψυχάς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν*, aliud schol. *Πορφυρίου. πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα.* Schol. Hom. Χ 209 *κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐξεδέξατο φαύλως Αἰσχύλος.* Eustath. Il. p. 1266, 37 *φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι, ὡς καὶ αὐτὸ προεδηλώθη* (p. 699, 31) *τὴν Ψυχοστασίαν τῷ Αἰσχύλῳ κῆρε νοήσαντι τὰς ψυχάς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος.* Poll. IV 130 *ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν* (i. e. Thetis et Aurora) *ἐν Ψυχοστασίᾳ. ἡ δὲ γέρανος μηχάνημά ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος*, unde Welcker Memnonem et Achillem in ipsa scena pugnasse suspicatus est Welcker (cl. Paus. V 19, 1), contradixit Hermann, ex pugna allatum in scenam esse corpus mortui Memnonis. Cfr. Welcker Tril. p. 432 sqq., Hermann Opusc. VII p. 343 sqq., Nitzsch Sagenp. d. Griech. p. 607 sqq., (CRobert Bild und Lied p. 143 sqq.). Ad Psychostasiam rettulit fr. 350 et 405 Butler (380 Wagner), ad Psychostasiam aut ad Memnonem pertinuisse fr. 300, 329, 405, 422 suspicatur Hermann. Vide etiam ad fr. 326 et supra p. 534 ad Memnonem.

279

ἀνηκίδωτοι

279 Hesych. *ἀνηκίδωτοι* (*ἀνηκίδοτοι* cod.)· *ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ.* Cfr. Anecd. Bekk. p. 402, 25 *ἀνηκίδωτοι· ἄνευ ἀκίδος.*

280

αὐριβάτας

Hoc de Memnonis lance dictum esse suspicatur Welcker, de Memnone sursum ablato Hermann.

ΩΡΕΙΘΥΙΑ.

In catalogo non commemoratur. De argumento, quod ex titulo et fragmento ad Boream Oreithyiam Erechthei filiam sibi uxorem deposcentem et postremo vi abripientem spectasse cognoscitur, cfr. Welcker Tril. p. 564 sq.

281

⟨ΒΟΡ.⟩ ⏑ καὶ καμίνου σχῶσι μάκιστον σέλας.
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι φόλον,
μίαν παρείρας πλεκτάνην χειμάρροον
στέγην πυρώσω καὶ κατανθρακώσομαι.
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος

280 Hesych. *αὐριβάτας. Αἰσχύλος τὸ αὖρι* (*αὔριον* cod., corr. Pauw) *ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ οὕτως φησὶ τὸ ὄνομα, ταχυβήμων* (*ταχυβήλων* cod., corr. Salmasius). Cfr. Anecd. Bekk. p. 464, 9 *αὐρίβατον· τὸ αὖρι τιθέασιν ἐπὶ τοῦ ταχέως καὶ τάχα, οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν, τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον.* Itaque in Psychostasia *αὐριβάτας*, alio loco *αὐριβατᾶν* usurpasse videtur.

281 Longin. *περὶ ὕψους* c. 3, 1 »*καὶ καμίνου .. μέλος*«. *οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν καὶ τὰ ἄλλα ἑξῆς· τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται.* Johannes Sicel. in Rhet. vol. VI p. 225 *φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ* (scil. *Αἰσχύλου*) *μᾶλλον ἐν τῷ τῆς*

---

281 V. 1 *καὶ μὴ* Toll, *εἰ καὶ* Salmasius, malim *ὡς καί*. — V. 2 *φόλον* pro *μόνον* Salmasius. — V. 3 *βίᾳ* pro *μίαν* Ruhnken, fort. *βαιὰν* vel potius *μικρὰν* (*σμικράν*).

INCERTARUM FABULARUM FRAGMENTA.

282

κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις

283

ἀναξίαν

284

τὴν αἰπεινὴν ζαθέαν Ὤλενον

285

νηριτοτρόφους

Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα ἐπιλαθόμενος· διὸ καὶ Σοφοκλῆς (*οὐ* addit Ruhnken) *μιμεῖται. λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κα´ τῶν Φιλολόγων.* Aeschylo usum Ovidium Met. VI 690sqq. saevitiam Boreae descripsisse coniecit Ruhnken.

282 Aristoph. Ran. 1291, ubi Euripides locos Aeschyleos carpit, *κυρεῖν . . ἀεροφοίτοις.* Schol. *καὶ τοῦτο ἐξ Ἀγαμέμνονος* falso. Sphingi (cfr. fr. 236) versum adscribunt Dindorf et Fritzsche, Memnoni Bergk, Argivis Hartung.

283 Hesych. *ἀναξίαν· βασιλείαν. Αἰσχύλος λιανοίαις* (*Αἰτναίαις* Meursius, *Νεανίαις* vel *Νεανίσκοις* MSchmidt).

284 Steph. Byz. p. 707, 13 *Ὤλενος: πόλις Ἀχαίας καὶ Αἰτωλίας θηλυκῶς λεγομένη. Αἰσχύλος γραύσιων* (*τοαύσιον* cod. Voss., *Καρσίν* Meineke, *Δαναΐσιν* MSchmidt Zeitschr. f. Alt. 1856 p. 356, *Γλαύκῳ* i. e. *Γλαύκῳ ποντίῳ* Hartung, cfr. Wilamowitz Isyllos von Epidauros p. 113sq.).

285 Athen. III p. 86 B *καλεῖται δ' ὁ ἀναρίτης καὶ ἀνάρτης . . Αἰσχύλος δ' ἐν Πέρσαις τίς ἀνήρει τοὺς νήσους* (*ἐν Πέρσαις τὰς ἀναρίτας τρεφούσας νήσους* Papageorg) *νηριτοτρόφους εἴρηκεν.* Vocabulum ex Pers. 902 (*ἐκράτυνεν ἀναριτοτρόφους*) Burneio, ex lacuna post v. 916 statuenda Hermanno, ex v. 891 excidisse videtur mihi (*καὶ νηριτοτρόφους ἐκράτυνε μετάκτους*). Welcker *ἐν Πέρσισι* (vide ad fr. 452), A Hecker Philol. IV p. 482 cum Schweig-

286

ὑπόξυλος

287

ἀποφύλιοι

288

δέδοικα μῶρον κάρτα πυραύστου μόρον.

haeusero, qui de *ἐν Περραιβοῖς* cogitaverat, *ἐν Περραιβίσιν*, Zakas *ἐν Πρωτεῖ* pro *ἐν Πέρσαις* coniecit, alii cum Schweighaeusero de Phrynichi vel cum Blomfieldio de Epicharmi Persis cogitant.

286 Schol. Hermog. in Rhet. vol. V p. 486 *ὑπόξυλος . . ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον. Αἰσχύλος ἐν Πέρσαις* (*ἐν Περραιβίσιν* cum Blomfieldio Naber Phot. lex. I p. 26 sq., *ἐν Πρωτεῖ* Zakas, vide append. ad fr. 185). Vulgare vocabulum, de quo vide etiam Bekk. Anecd. p. 67, 6 et Phot. lex., non videtur sermoni tragico convenire.

287 Hesych. *ἀποφύλιοι ξένοι· οἱ* (*ἀποφύλιοι· ξένοι ἤτοι οἱ* O Crusius) *μὴ ἔχοντες φυλήν. Αἰσχύλος σατυρικῷ* (*Πρωτεῖ σατυρικῷ* Casaubonus, scribendum fort. *Λυκούργῳ*). Cfr. Poll. III 56 *ἀποφύλιον τὸν φυλὴν μὴ ἔχοντα.* In Anecd. Bekk. p. 439, 12 *ἀποφώλιοι· ξένιοι, οἱ φυλὴν μὴ νέμοντες* et apud Suidam (et Zon. lex. p. 237) *ἀποφώλιοι· ξένιοι, οἱ φυλὴν μὴ νέμοντες* et apud Suidam (et Zon. lex. p. 237) *ἀποφώλιοι· ξένοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι· φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες*, duae glossae *ἀποφώλιοι* et *ἀποφύλιοι ξένοι* confusae sunt. Anecd. Bachm. I p. 411, 12 *φωλεόν· τὸ παιδευτήριον· ὅθεν καὶ ἀποφώλιοι οἱ ἀπαίδευτοι.* »Sunt qui hoc fragmentum ad Protea, sunt qui ad Cercyonem referunt, sed res plane incerta est« Butler.

288 Ael. N. A. XII 8 *ζῷόν ἐστιν ὁ πυραύστης . . μέμνηται δὲ αὐτοῦ καὶ ὁ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς λέγων· »δέδοικα μωρὸν . . μόρον«.* Attulerunt versum Suidas v. *πυραύστου* et Zenob. V 79. Cfr. etiam Manuelis Philae carmen (vol. I p. 164 ed. Mill.) v. 465 *ἀλλὰ δεδοικὼς τῶν πυραυστῶν τὸν μόρον ὡς ἀφρόνων ἔλεγχον ἐκ παροιμίας τὸ φῶς ὁρῶ πῦρ.* Proverbialem locu-

---

288 *πυρκαύστου* Spitzner Prosodik p. 99. At cfr. nomen *Πυραίχμης* apud Hom. *Π* 287.

289

βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὤν

290

φρὴν ἀγέλαστος

291

θρηνεῖ δὲ γόον τὸν ἀηδόνιον

292

ἀχνίσωτος οἶκος

tionem *πυραύστου μόρος* memorat Eust. Il. p. 1304, 8 et alibi et comm. in Joh. Damasc. hymn. pentecost. Spicil. Rom. vol. V p. 238. Novum vocabulum *πυραυστούμορος* finxit Tzetzes in Lyc. 84 et alibi. Hoc fragmentem a quibusdam (ut Bothio) ad *Προμ. πυρκαέα* refertur, at igni modo allato de pyrausta vix dici potest. (Ad *'Υδροφόρους* pertinuisse putat Hartung).

289 Ammon. Valck. p. 68 sq. *θεωρὸς καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων . . Αἰσχύλος »βοᾶς . . ὤν«.* Valckenaer *θόας* pro *βοᾶς* coniciens ad Hypsipylen locum pertinuisse suspicatur. (Ad *Σαλαμινίας* refert Hartung).

290 Anecd. Bekk. p. 337, 8 *ἀγέλαστος· ὁ μὴ πρὸς γέλωτα ἐπιτήδειος . . Αἰσχύλος δὲ φησὶ καὶ »φρὴν ἀγέλαστος«.* Cfr. *ἀγέλαστα πρόσωπα* Ag. 785. Merkel Cho. 377 post *στυγερῶν τούτων* inserit *φρήν τ' ἀγέλαστος.*

291 Anecd. Bekk. p. 349, 7 *ἀηδόνειος θρῆνος. Αἰσχύλος »θρηνεῖ.. ἀηδόνειον«.* Cfr. Hesych. *ἀηδόνων* (*ἀηδόνειος* M Schmidt)· *ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον, ἐπὶ δὲ λύπης τὸ σφοδρότατον.*

292 Anecd. Bekk. p. 368, 29 *ἀχνίσωτος οἶκος· ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος.*

---

291 *ἀηδόνιον* pro *ἀηδόνειον* Blomfield.

293

ἄκουε τὰς ἐμὰς ἐπιστολάς

294

μέγαν ἀλάστορον

295

αὐτόκραντον λόγον

296

πᾶσα γὰρ Τροία δέδορκεν Ἕκτορος τύχης διαί.

293 Anecd. Bekk. p. 372, 8 ἄκουε τὰς ἐμὰς ἐπιστολάς· ἀντὶ τοῦ τῶν ἐμῶν ἐπιστολῶν. οὕτως Αἰσχύλος. Ad Heliades pertinuisse suspicatur, verba Solis Phaethontem monentis esse ratus, Hermann Opusc. III p. 140 sq.

294 Anecd. Bekk. p. 382, 30 ἀλάστορον· ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ εὐθείας τῆς ὁ ἀλάστορος. ὁ Αἰσχύλος »μέγαν ἀλάστορον« εἶπεν. Ad Ixionem refert Hermann. Cfr. ad fr. 92. At fortasse locus ad Soph. O. R. 1343 spectat ibique τὸν μέγ' ἀλάστορον scribendum est.

295 Anecd. Bekk. p. 467, 9 αὐτόκρανον λόγον τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα. οὕτως Αἰσχύλος. Cfr. Etym. M. p. 173, 34 αὐτόκρανα· αὐτόδηλα (v. Sept. 833), αὐτοκράαντα.

296 Cramer. Anecd. Oxon. I p. 119, 12 παρὰ δὲ Ἀττικοῖς (ἡ διὰ) προσλαμβάνει τὸ ἰῶτα καὶ γίνεται διαί, καὶ συντάσσεται γενικῇ καὶ ἰσοδυναμεῖ τῷ ἕνεκα· »πᾶσα . . διαί« ἀντὶ τοῦ ἕνεκα Ἕκτορος· καὶ ἐν Ἀγαμέμνονι (455) »ἀλλοτρίας διαὶ γυναικός«. Aeschylo versum tribuit Cramer. Ad Phryges refert Hermann, ad Nereides vel potius ad unam eius trilogiae fabulam Welcker.

---

295 αὐτόκραντον pro αὐτόκρανον Dindorf.

296 δέδουκεν pro δέδορκεν Bernhardy, δέδοικεν Dindorf, δέδυκεν H Sauppe (πᾶσα γὰρ | Τροία δέδυκεν . . διαί)· — ψυχῆς pro τύχης Cobet Mnem. vol. X p. 344 (δέδοικεν Ἕκτορος ψυχῆς διαί), cfr. M Haupt Hermes VI p. 385 (δέδορκεν Ἕ. ψυχῆς διαί).

297

ἐν μανοστήμοις πέπλοις

298

ἐτονθόρυζε ταῦρος ⟨ὡς⟩ νεοσφαγής

299

οὔτοι μ' ἄπειρον τῆσδε τῆς προσῳδίας

300

γύας μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, ἔνθα Νεῖλος ἑπτάρους
γάνος κυλίνδει πνευμάτων ἐπομβρίᾳ,

297 Cramer. Anecd. Oxon. I p. 288, 23 μανόν, τὸ ἀραιόν, ὡς Αἰσχύλος »ἐν .. πέπλοις«. Eadem fere habet Etym. M. p. 1630 A ed. Gaisf., Etym. Gud. p. 378, 38, Zon. lex. p. 1332. Cfr. Hesych. μανοστήμοις· ἀραιοστήμοις.

298 Cramer. Anecd. Oxon. II p. 414, 13 τονθορύζω .. καὶ Αἰσχύλος »ἐτυνθώρυζε (sic) ταῦρος νεοσφαγής. Ad Θρῄσσας refert Hartung.

299 Cramer. Anecd. Oxon. IV p. 315, 28 παρ' Αἰσχύλῳ τὴν προσῳδίαν εὑρίσκομεν κειμένην ἐπὶ τῆς προσφωνήσεως, οὐ τῆς μετ' ὀργάνου φωνῆς, »οὔτι μ' .. προσῳδίας«.

300 Anonymus scriptor dissertationis de Nilo primum ex cod. Laur. 56, 1 (F) ab Henrico Stephano in append. ad Aristo-

---

298 ὡς inseruit Cramer.

300, 1 γύας scripsi pro γένος. — ἐκμαθὼν pro καὶ μαθὼν Schweighäuser. — 2 ἑπτάρους pro ἑπτάρρους Grotius. Νεῖλος ἔνθ' ἑπτάρρους Dindorf. — 3 γάνος pro γαῖαν Hermann. — κυλίνδει pro κυλίνδων Salmasius. — ῥευμάτων Is. Vofs, cui obloquitur Hermann afferens Aristid. II p. 450 ἀπεβλέψαμεν οὖν εἰς τὰ νέφη, καί τις ἔφη τῶν παρόντων· ταῦτα δὴ τὰ τοῦ Νείλου πνεύματα· οὕτω γάρ πως ὠνόμασε. — 4 κυρωπὸν secundum cod. C pro κυρωτόν. — φέγγος pro μηνὸς Nauck. — 7 ἀντέλλει pro ἀγγέλλει Grotius.

ἐν ᾗ πυρωπὸν φέγγος ἐκλάμψαν φλόγα
τήκει πετραίαν χιόνα· πᾶσα δ' εὐθαλὴς
Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

301

ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

telis et Theoprasti scripta quaedam Paris. 1557 editae, nunc quia in Paris. cod. (C) epitomes Athenaei folii vacui explendi causa legitur, Athen. ed. Dind. p. 163 sqq. adiectae exhibet p. 165 ed. Dind.: *καὶ Αἰσχύλος* »*γένος μὲν αἰνεῖν καὶ μαθὼν .. νεῖλος ἑπτάρρους γαῖαν κυλίνδων .. ἐπομβρία* (*ἐπομβρίαις* Stephanus) *ἐν ᾗι πυρωτὸν μηνὸς ἐκλάμψαν φλόγα* (*ἐν ᾗ πυρωπὸς ἥλιος ἐκλάμψας χθονί* C, unde Hermann *ἐν δ' ἥλιος πυρωπὸς ἐκλάμψας χθονὶ*) *τήκει πετραίην .. ἀγγέλλει στάχυν*«. Schol. Apoll. Rh. IV 269 *καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς ὑπὸ* (*ὑπὲρ* H Keil) *τὴν Αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι.* Senec. Nat. quaest. IV 2, 16 *Anaxagoras ait ex Aethiopiae iugis solutas nives ad Nilum usque decurrere .. hoc Aeschylus Sophocles Euripides tradunt.* Aristid. II p. 443 *καὶ ὡς ἔοικεν, Αἰγυπτίων μὲν οἱ μὴ ἀποδημήσαντες οὐδὲ εἶδον χιόνα, ἀλλ' οὐδ' ἑτέρου λέγοντος δύνανται μαθεῖν .. οἱ δ' ἐπὶ τῇ τῆς μεσημβρίας ἀρχῇ χιόνος πλέον ἢ θέρμης ἔχουσι, καὶ τί γένοιτ' ἂν τούτου τραγικώτερον ψεῦσμα, ἄν τ' Εὐριπίδης ἄν τ' Αἰσχύλος αὐτὸ συνθῇ*, ib. p. 460 *καὶ τί δεῖ παλιρροίας καὶ δίνας λέγειν, ἀμελήσαντι ὅτι οὔτ' αὐτόθεν ὁ Νεῖλος ὁρμᾶται .. οὔθ' ὑπὲρ τοὺς καταρράκτας δυνατὸν τὸ ὕδωρ ὑπερβαλεῖν, εἰ μὴ κατ' Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ καταπαλτὸν φέρεσθαι θείη.* Locum ex Memnone sumptum esse suspicatur cum Butlero Hermann (obloquitur Welcker ep. Cycl. p. 205 et Kausche Mythol. Aesch. p. 217 frustra, nam v. Prom. 884 sqq.), ex Psychostasia quondam Welcker Tril. p. 485 adn. 719 repetebat.

301 Anonymus dissert. in Orellii Opusc. sent. vol. II p. 222 *Αἰσχύλου δὲ ταῦτα* »*ἀπάτης .. θεός*«. »*ψευδῶν .. ὅποι τιμῇ* (sic libri) *θεός*« (fr. 302). Hos versus disiungendos esse monuit Gale Opusc. myth. p. 720. Priorem versum Aeschylo tribuunt etiam

302

ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός.

303

μὴ παρασπιστὴς ἐμοὶ
μηδ' ἐγγὺς εἴη

304

τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν
πεποικίλωκε κἀποδηλώσας ἔχει
θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ·
ὃς ἦρι μὲν φανέντι διαπαλεῖ πτερὸν

Stob. fl. 9, 23, Schol. Il. B 114, Eustath. Il. p. 188, 43, sine poetae nomine exhibet Eust. Il. p. 480, 43 (*ἀπάτης ἀγαθῆς*). Ad Aegyptios refert Hartung, ad Danaides Hermann opusc. II p. 329, ad *Θαλαμοποιούς* Oberdick.

302 Cfr. ad 301. Ad Philoctetam refert Hartung, ad Danaides Hermann l. l.

303 Aristid. vol. II p. 379 *μὴ μὲν οὖν ἔμοιγε κατ' Αἰσχύλον μήτε παρασπιστὴς μήτ' ἐγγὺς εἴη ὅστις μὴ φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα.* Aeschyli verba excerpsit cum Butlero, qui *μήτ' οὖν παρασπιστὴς ἐμοὶ | μήτ' ἐγγὺς εἴη* Aeschylo adscribit, Hermann. (Ad Argo refert Wagner, ad Oedipum Hartung, ad Cabiros Bergk).

304 Aristot. H. An. 9, 49 p. 633 a 19 *μεταβάλλει δὲ καὶ ὁ ἔποψ τὸ χρῶμα καὶ τὴν ἰδέαν, ὥσπερ πεποίηκεν Αἰσχύλος ἐν τοῖσδε· »τοῦτον . . ἦρι μὲν φαίνοντι* (*φαίνοντα*) *διαπάλλει . . παιδός τε καὶ-*

304, 4 *φανέντι* pro *φαίνοντι* (*φαίνοντα*) Nauck. — *διαπαλεῖ* pro *διαπάλλει* W Gilbert Act. soc. phil. Lips. II p. 323. — 6 *χαὐτοῦ* pro *καὐτοῦ* Sylburg. — 7 *ἡνίκ' ἂν ξανθῇ* pro *ἵνα καταξανθῇ* Salmasius. *ἣν καταξανθῇ* G F Unger. — 9 *τῶν ἐπ' ἀνθρώποις τόπων* scripsi pro *τῶνδ' ἀπ' ἄλλον εἰς τόπον.* Cfr. Aelian. l. l. Scaliger coniecit *τοῦδε Παλλήνης τόπου*, Heath *τῶνδ' ἀπαλλαγεὶς τόπων.* — *ἐποικίσει* pro *ἀποικίσει* Schneider (*ἀποικιεῖ* Dindorf).

κίρκου λεπάργου· δύο γὰρ οὖν μορφὰς φανεῖ
παιδός τε χαὐτοῦ νηδύος μιᾶς ἄπο·
νέας δ' ὀπώρας ἡνίκ' ἂν ξανθῇ στάχυς,
στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ.
ἀεὶ δὲ μίσει τῶν ἐπ' ἀνθρώποις τόπων
δρυμοὺς ἐρήμους καὶ πάγους ἐποικιεῖ.

305

τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

306

διαβρέχεις τἀρτύματα

307

σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρος,

τοῦ . . ὀπώρας ἵνα καταξανθῇ . . μισεῖ τῶνδ' ἀπ' ἄλλον εἰς τόπον . . ἀποικίσει«. Cfr. Plin. N. H. X 86 *mutat et upupa (formam coloremque), ut tradit Aeschylus poeta.* Ad Sophoclis Tereum refert hunc locum Welcker Trag. Gr. p. 384, quod probat Bernhardy Hist. lit. Gr. II 2 p. 335 ed. tert., item Oder N. Mus. Rhen. vol. XLIII p. 541 sqq., qui ex locutione ἀποδηλώσας ἔχει et usu coniunctionis ἡνίκα efficit ab Aeschylo alienum esse hoc fragmentum et cum v. 9 confert Ael. H. A. III 26 οἱ ἔποπές εἰσιν ὀρνίθων ἀπηνέστατοι, καί μοι δοκοῦσι τῶν προτέρων τῶν ἀνθρωπικῶν ἐν μνήμῃ καὶ μέντοι καὶ μίσει τοῦ γένους τοῦ τῶν γυναικῶν ὑποπλέκειν τὰς καλιὰς ἐν ταῖς ἐρήμοις καὶ τοῖς πάγοις τοῖς ὑψηλοῖς. (Ad Κρῆσσας pertinuisse putat Hartung).

305 Aristot. Rhet. II 10 p. 1388 a 7 τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ φθονοῦσιν. ὅθεν εἴρηται τὸ »τὸ . . ἐπίσταται«, schol. fol. 37 b 28 τοῦ Αἰσχύλου τοῦ ποιητοῦ ἐστι ⟨τὸ⟩ »τὸ . . ἐπίσταται«.

306 Athen. II p. 67 F ἀρτύματα εὕρηται . . παρ' Αἰσχύλῳ »διαβρέχεις τἀρτύματα«.

307 Athen. VII p. 303 C μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων »σφύρας . . κἀπιχαλκεύει λέγων μύδρους . . ὡς ἡνίχετο

307, 1 κἀπιχαλκεύειν μύδρους Jacobs pro κἀπιχαλκεύει λέγων μύδρους. μύδρος pro μύδρους Dobree. Cfr. Antiphan. fr. 195 ed. Kock. — 2 ἠνείχετο pro ἡνίχετο Hermann. — ἄναυδος pro ἂν λυδός Musurus.

ὃς ἀστενακτὶ θύννος ὡς ἠνείχετο
ἄναυδος

308

τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην

309

ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;

ἂν λυδός« καὶ ἀλλαχοῦ »οὗτος καὶ ὄνομα (ὄμμα C) παραβαλὼν θύννου δίκην« (fr. 308), ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης εἴρηκεν. (Ad Σαλαμινίας refert Hartung).

308 Cfr. ad fr. 307. Plut. de sollertia anim. c. 29 p. 979 E ἄκουσον ἤδη τὴν ἀριθμητικὴν ἐπιστήμην αὐτῶν (τῶν θύννων)· πρότερον δὲ καὶ μὰ Δία τὴν ὀπτικήν, ἣν ἔοικε μηδ' Αἰσχύλος ἀγνοῆσαι· λέγει γάρ που »τὸ σκαιὸν ὄμμα . . δίκην«. Ael. N. A. IX 42 ὅτι δὲ (οἱ θύννοι) τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσιν, τῷ δὲ ἄλλῳ οὐκέτι, καὶ Αἰσχύλος ὁμολογεῖ λέγων »τὸ σκαιὸν ὄμμα . . δίκην«. Versum ex Aeschylo afferunt etiam schol. Oppian. Hal. IV 504. 525, Eustath. Il. p. 994, 52 (»ὄμμα . . δίκην«). (Ad Κήρυκας refert hoc fr. Droysen).

309 Athen. IX p. 375 E Αἰσχύλος δέ φησιν »ἐγὼ . . τόνδ' ἐννοτοῦντι (ἐν νοθοῦντι) . . τοῦδε βέλτιον«; καὶ πάλιν »λευκός . . πυρί (fr. 310) καὶ ἔτι »θύσας . . ἦ πολλά γ' . . κάτω« (fr. 311). ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου. Ad Κίρκην fr. 309 refert E A J Ahrens, ad Prometheum satyricam fabulam fr. 309—311 pertinere putat Hartung.

---

308 οὐ σκαιὸν Pauw.

309, 1 εὐθηλῆ λαβὼν Blaydes ad Soph. El. 1455. — 2 ἐν ῥοθοῦντι pro ἐννοτοῦντι (ἐν νοθοῦντι) Dindorf. — 3 βέλτερον pro βέλτιον Burney.

310

λευκός, τί δ' οὐχί; καὶ καλῶς ἡφευμένος
ὁ χοῖρος. ἕψου μηδὲ λυπηθῇς πυρί.

311

θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός,
ἣ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

312

αἱ δ' ἕπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι
πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ
κλαίεσκον ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι πελειάδες.

313

χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν.

310 Cfr. ad fr. 309. Eustath. Il. p. 1286, 21 εὕρηται δὲ καὶ παθητικὴ μετοχὴ τοῦ τοιούτου ῥήματος (sc. ἀφεύω) ἐν τῷ »λευκὸς καὶ καλῶς ἡφευμένος«. Fr. 310 et 311 ad Κήρυκας refert E A J Ahrens.

311 Vide ad fr. 309 et 310.

312 Athen. XI p. 491 A (et Eustath. Od. p. 1713, 4) de Pleiadibus disserens: καὶ Αἰσχύλος δ' ἐκφανέστερον προσπαίζων τῷ ὀνόματι κατὰ τὴν ὁμοφωνίαν »αἱ δ' . . πελειάδες«. ἀπτέρους γὰρ αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν. Cfr. schol. Il. Σ 486 τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναί φησιν Αἰσχύλος. Locum ad Heliades refert Butler (cfr. Herm. opusc. III p. 141), ad Prom. sol. Hartung.

313 Athen. XII p. 528 C τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν (l. ἱστορεῖ λέγειν) διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας· »χλιδῶν . . λαὸν (λοιπὸν C) ἤνεσαν«. Ad Cressas refert Butler, ad Edonos Hartung.

311, 2 μ' pro γ' Porson.
313, 1 Fort. χλιδῇ.

314

εἶτ' οὖν σοφιστὴς κᾶλα παρπαίων χέλυν

315

τῷ πονοῦντι δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

316

ἀλλ' ἔστι κἀμοὶ κλῄς ἐπὶ γλώσσῃ φύλαξ.

317

οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα
[καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν].

314 Athen. XIV p. 632C πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ (τῇ μουσικῇ) σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν »εἶτ'.. καλὰ παραπαίων χέλυν«.

315 Clem. Alex. Strom. IV p. 586 ταύτης τῆς ἐννοίας (dicit Pind. fr. 227 ed. Bergk) καὶ Αἰσχύλος ἐπιλαβόμενός φησι »τῷ.. κλέος«. Ad Cares refert Hartung.

316 Clem. Alex. Strom. V p. 661 ἔστι μοι πιστὸν ταμεῖον ἐπὶ γλώσσας, ἡ ποιητική φησιν, ὅ τε Αἰσχύλος »ἀλλ'.. φύλαξ«. Temere Naber Nov. Mnem. vol. IX p. 84 haec ad Ag. 36 refert, ubi κλῄς ἐπὶ γλώσσῃ φύλαξ βέβηκεν scribi iubet. (Ad Epigonos hoc fr. pertinuisse putat Hartung).

317 Clem. Alex. Strom. VI p. 739 ἀκήκοα δὲ Αἰσχύλου μὲν λέγοντος »οἴκοι.. μένειν«. Priorem versum sine poetae nomine habet Diogenianus VII 35, Sophocli tribuit Stob. flor. 39, 14, ubi δεῖ pro χρή. Alterum versum abiecit Wagner. Comicorum locis allatis, Menandri οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα, Theopompi τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα, Cratin. iun. πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα, versus sic scribendos esse suspicatur Nauck: *A.* οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα. *B.* καὶ (malim τί) τὸν κακῶς πράσσοντα; *A.* καὶ τοῦ-

---

314 κᾶλα παρπαίων pro καλὰ παραπαίων scripsi.

318

τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον

319

νοῦν ἀσαλὴς θεόθεν μανία

320

θετὸς υἱός

τον μένειν locumque comico poetae tribuit, qui tragici sententiam apposuerit et correxerit. Totum locum comico adscribit F W Schmidt Krit. Stud. III p. 70sq. Ad Danaides locum refert Hermann (opusc. II p. 329), (ad Heliades Hartung).

318 Etym. M. p. 149, 57 *ἄρταμος . . παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι ἢ συναρμόσαι· οὗ μέμνηται Αἰσχύλος* »*τοσαῦτα . . διάρτασον*«. Hesych. *διάρτασον· διάστειλον*. (Ad Eleusinios refert Hartung, ad *Κήρυκας* Droysen).

319 Ex Etymologici Magni cod. Vat. 1818 edidit RReitzenstein Ind. lect. hib. Rostoch. 1890 haec: *ἀσαλής· ὁ ἀφρόντιστος* (*ἄφροντις* cod.) *ἢ ἡ μηδενὸς φροντίζουσα. Αἰσχύλος τουνασαλῆς* (*νοῦν ἀσαλὴς* Reitzenstein) *θέοθεν μανίαο. εἴρηται δὲ παρὰ τὴν σάλην ἢ σημαίνει τὴν φροντίδα, ἀσαλὴς ὁ ἀμέριμνος. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλόδωρος. καὶ γὰρ ἀσαλέαν Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. — Ἀσαλὴς μανία· ἡ μηδενὸς φροντίζουσα. σάλη γὰρ ἡ φροντίς· οὕτως Αἰσχύλος, ἐκ τοῦ λεξικοῦ τοῦ ῥητορικοῦ*. Cfr. Etym. M. p. 151, 49, Etym. Flor. p. 46 ed. Mill., Bekk. Anecd. p. 450, 28 *ἀσαλὴς μανία· ἡ μηδενὸς φροντίζουσα· σάλη γὰρ ἡ φροντίς. οὕτως Αἰσχύλος*. Inde repetivit Nauck quod Phot. lex. p. 497, 14 habet: *σάλα· φροντίς. οὕτως Αἰσχύλος*. Hoc fr. ad *Νεανίσκους* refert Hartung.

320 Etym. Flor. ed. Miller p. 157 *θετὸς υἱός· προσποιητός, παρ' Αἰσχύλῳ. τίθημι θήσω θετός*. Verbis *παρ' Αἰσχύλῳ* omissis leguntur haec etiam in Etymologici codice Vossiano. Larcher

---

318 *διάρτισον* cl. Hesych. *διαρτίζων, ἄρτια καὶ συνετὰ φθεγγόμενος* Maltby.

321

θινὸς ἐμβολὰς ἁλός

322

κάπηλα προσφέρων τεχνήματα

323

νεοκρᾶτας σπονδάς

εἰσποιητός, Dindorf ex Etym. M. 448, 21 *θετὸς υἱός· προσποιητός· τοὺς γὰρ εἰσποιητοὺς καὶ θετοὺς ἔλεγον καὶ θέτην τὸν εἰσποιησάμενον παῖδας θετούς* efficere sibi videtur duas fuisse antiquiores glossas, alteram ad Cho. 734 (*θετῶν σκυθρωπῶν ἐντὸς ὀμμάτων*) referendam *θετός· προσποιητός*, alteram *θετὸς υἱός· εἰσποιητός· τοὺς γὰρ εἰσποιητοὺς κτέ.*

321 Etym. M. p. 450, 37 *θίς . . ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ Αἰσχύλῳ »θινὸς . . ἁλός«.*

322 Etym. M. p. 490, 12 *ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα· »κάπηλα προσφέρων* (sic cod. Par. 2638, ceteri *προφέρων*) *τεχνήματα«.* Eadem habent Etym. Gud. p. 298, 9, Cramer. Anecd. Ox. vol. II p. 456, 6, Suidas v. *κάπηλος*, qui libri exhibent *προφέρων* vel *προσφέρονται*. Ad Phryges refert Welcker, ad Philoctetam Hartung.

323 Etym. M. p. 537, 46 *κρῶ κρήνη καὶ »νεοκράτας σπονδάς« Αἰσχύλος τὰς νεωστὶ ἐγχυθείσας.* Ibid. p. 541, 31 *κρωσσούς . . παρὰ τὸ κρῶ τὸ ἐπιχέω, τοῦτο δὲ ἐκ τοῦ κερῶ*, ubi Etym. Flor. ed. Mill. p. 196, Havn., Voss. addunt: *οἷον »κέρασσε δὲ νέκταρ«* (Hom. ε 93) *ἀντὶ τοῦ ἐπέχεεν· οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ. καὶ παρ' Αἰσχύλῳ* (*καὶ Σοφοκλῆς* V) *»νεοκραὶ αἱ* (*νεοκρὰς αἱ* F, *νεόκρας* V) *σπονδαὶ« λέγονται* (*λέγονται* om. V), *τουτέστιν αἱ* (*αἱ* om. V) *νεωστὶ ἐκχυθεῖσαι* (*χυθεῖσαι* V). Cfr. Cho. 343 ubi *φιάλην νεοκρᾶτα* conieci.

---

321 *θινὸς ἐμβολάδος* Hermann. Fortasse *θινὸς ἐκβολὰς ἁλίας* scribendum.

324

ἐν διρρυμίᾳ
πῶλοι

325

μάχλον ἄμπελον

326

ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους
φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας

324 Eustath. Il. p. 706, 60 εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος φησίν »ἐν . . πῶλοι«. Verba ad Glaucum Potniensem pertinuisse suspicatur Hermann (opusc. II p. 64).

325 Eustath. Il. p. 827, 31 οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασίν, ἄμπελον εἰπόντος τὴν ῥεομένην ἡ κωμῳδία εἶπε τὸν ὑπὸ κατωφερείας δίυγρον, Od. p. 1597, 32 καὶ Αἰσχύλος, φασί, τὴν ῥεομένην ἄμπελον μάχλον ἔφη. Ad unam ex Lycurgiae fabulis refert Hermann (opusc. V p. 19). Interpretatione ῥεομένην improbata vitem vegetam et quasi lascivientem dici monuit Nauck (Aristoph. Byz. fragm. p. 167).

326 Eustath. Il. p. 1157, 36 Αἰσχύλος δέ φησι καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτοὺς διὰ τὸ κώδωνας, φησί (l. φασί), προσῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως· »ὃς . . τέτταρας . . ἐστομωμένας«. Poll. X 56 ἐκαλοῦντο δέ τινες καὶ αὐλωτοὶ φιμοὶ διὰ τὸ κώδωνας ἔχειν προσηρτημένους, οἷς ἐγχρεμετίζοντες οἱ ἵπποι ἦχον ἐποίουν προσόμοιον αὐλῷ. Hes. αὐλωτοὶ φιμοί· οἱ κημοί, διὰ τὸ τοῖς κημοῖς κώδωνας προσῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο. Ad Glaucum Potniensem rettulit Hermann (Opusc. II p. 64), ad Memnonem probabilius Kausche l. l. p. 217 collato Aristoph. Ran. v. 963 Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους (schol. Ἀπολλώνιός φησιν, ὅτι παρήνεγκε χρωμένους κώδωσί τινας, quod scholion ad Psychostasiam putat Butler).

327

πρὶν ἂν παλαγμοῖς αἵματος καθαρσίου
αὐτός σε χράνῃ Ζεὺς καταστάξας χεροῖν

328

Αἰθίοπα φωνήν

329

πότερα γυνή τις Αἰθίοψ φανήσεται;

330

λεοντόχορτον βούβαλιν νεαίρετον

327 Eustath. Il. p. 1183, 18 *σημείωσαι δὲ ὅτι ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ »πρὶν ἂν . . χρᾶναι . . χεροῖν«.* Ad Perrhaebidas rettulit locum Hermann, ad Ixionem Pauw.

328 Eustath. Od. p. 1484, 48 *τὸ θηλυκὸν τοῦ Αἰθίοψ . . λέγεται . . καὶ ὁμοφώνως τῷ ἀρσενικῷ κατὰ τοὺς παλαιούς· Αἰθίοπα γοῦν, φασί, φωνὴν Αἰσχύλος λέγει καὶ »πότερα . . φανήσεται;«* (fr. 329). Ad Memnonem refert E A J Ahrens.

329 Vide ad fr. 328. Ad matrem Memnonis rettulit Hermann, rectius ad ipsius Memnonis muliebrem ornatum E A J Ahrens et Kausche l. l. p. 216.

330 Eustath. Od. p. 1625, 44 *Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν καὶ Αἰσχύλος »λεοντοχόρταν . . νεαίτερον«.* Huic versui locum fuisse in Glauco Potniensi suspicatur Hermann, in Xantriis Hartung.

327, 1 *σταλαγμοῖς* Pauw. — 2 *χράνῃ* pro *χρᾶναι* Porson.

330 *λεοντόχορτον* pro *λεοντοχόρταν* L Dindorf. — *νεαίρετον* pro *νεαίτερον* G Dindorf.

331

ὡς λέγει γέρον γράμμα

332

ἔλα, δίωκε μή τι μαλχίων ποδί

333

Herod. II 156 Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν Ὧρος, Δημήτηρ δὲ Ἶσις, Ἄρτεμις δὲ Βούβαστις. ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγενομένων· ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος. Paus. VIII 37, 6 Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι καὶ οὐ Λητοῦς, ὄντα Αἰγυπτίων τὸν λόγον, Αἰσχύλος ἐδίδαξεν ⟨ὁ⟩ Εὐφορίωνος τοὺς Ἕλληνας. Ad Aegyptios pertinere coniecit Larcher in Annot. ad Etym. M. (Sturz Append. ad Orion. p. 213), ad Danaides vel ad Τοξότιδας Welcker Mus. Rhen. vol. IV (1846) p. 503, Gr. Trag. p. 49 sq., cfr. Tittler Zeitschr. f. d. Altertumsw. 1838 p. 975, ad Ἐλευσινίους vel ad Ἱερείας Butler.

334

ἄειλα πεδία

331 Eustath. Od. p. 1923, 60 λέγει δέ που, φασί, καὶ Αἰσχύλος οὕτω τὸ γράμμα, οἷον »ὡς.. γράμμα« τουτέστι λόγος. M Schmidt (Zeitschr. f. Altertumsw. 1856 S. 356) Αἰσχρίων pro Αἰσχύλος coniecit. Post Suppl. 583 inserit C Häberlin.

332 Harpocr. p. 123, 12 μαλαχίζομεν (μαλαχίομεν CGN, μαλκίομεν Bekker). Δημοσθένης θ' Φιλιππικῶν φησί »μένομεν καὶ μαλακιζόμεσθα«. ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος »ἐλαδίω κεκμῆτι μαλκίων (μαλακίων BCN) ποδί«. Ad Heliades refert Gataker, ad Philoctetam Hermann.

334 Hesych. ἄειλα πεδία· ἀνήλια (πεδίας· ἀνήδια cod.). εἴλη γὰρ ἡ τοῦ ἡλίου αὐγή. Anecd. Bekk. p. 347, 22 ἄειλα· τὰ πολύσκια χωρία, κατὰ στέρησιν τῆς εἵλης. οὕτως Αἰσχύλος.

---

331 γέροντα γράμματα Nauck.

332 ἔλα (sic iam Valesius), δίωκε μή τι pro ἐλαδίω κεκμῆτι Lobeck Pathol. Elem. I p. 319.

335

ἄνω ποταμῶν

336

ἄχνη πυρός

337

ἀπτῆνα, τυτθόν, ἄρτι γυμνὸν ὀστράκων

338

ὀπισθοβριθὲς ἔγχος

339

ὑπόσκοπον χέρα

335 Hesych. *ἄνω ποταμῶν· παροιμία ἐπὶ τῶν ἐπ' ἐναντία γινομένων. κέχρηνται καὶ Αἰσχύλος καὶ Εὐριπίδης* (Med. 410 *ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί*).

336 Hesych. *ἄχνη πυρός· ὁ καπνός. καὶ Ἀριστοφάνης* (Vesp. 92) *οὕτως ἄχνην ὕπνου.* Etym. M. p. 182, 56 *ἄχνη . . Αἰσχύλος δὲ τὸν καπνόν, καὶ Ἀριστοφάνης οὕτως ἄχνη ὕπνου.* Suid. *ἄχναι, λεπτὰ ἄχυρα καὶ »ἄχνη πυρός«, ὁ καπνός.* Proverb. append. I 44 *ἄχνη πυρός, καπνός.*

337 Hesych. *ὀστράκων. »ἀπτῆν ἄτυτθον* (*ἀπτῆνα τυτθόν* Salmasius) *. . ὀστράκων«, ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων.* Phot. lex. p. 353, 17 *ὀστράκων· τῶν τοῦ ᾠοῦ. Αἰσχύλος.* (Ad Oedipum refert Hartung).

338 Hesych. *σαυροβριθὲς ἔγχος· ἐκ τοῦ σαυρωτῆρος βαρύ. καὶ Αἰσχύλος »ὀπισθοβριθὲς ἔγχος« ἔφη.*

339 Hesych. *ὑπόσκοπον χέρα* (*ὑποσκεπόνχερα* cod.). *Αἰσχύλος. ὥσπερ οἱ ἀποσκοποῦντες, οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς Πᾶνας ποιοῦσι. σχῆμα δέ ἐστιν ὀρχηστικὸν ὁ σκοπός.* Cfr. fr. 79 et Sil. Ital. XIII 341 obtendensque manum . . umbrate perlustrat pascua visu. Ad *Θεωρούς* refert Butler.

340

Liban. Epist. 175 ἀκούων δὲ Αἰσχύλου λέγοντος ἐκ τῶν πόνων τίκτεσθαι ἀρετὰς βροτοῖς. Idem Epist. 611 εἰ δ' οὖν καὶ πονοῦντα δεήσει διατελεῖν, Αἰσχύλος σε παραμυθείσθω τὰς ἀρετὰς ἐκ πόνων τίκτεσθαι λέγων. Cfr. etiam Epist. 351 εἰ δ' οἴει δεῖν ἃ φαμεν ποιεῖν, μὴ μέλλε πειθόμενος Αἰσχύλῳ καὶ ἔτι πρότερον Ἡσιόδῳ. Hartung coniecit: πόνων τεκνώματ' εἰσὶν ἀρεταὶ βροτοῖς, Mekler: ἐκ τῶν πόνων ἔβλαστον ἀρεταὶ βροτοῖς. Possis hariolari: ἐκ τῶν πόνων γὰρ τίκτεται βροτοῖς κλέος, cl. fr. 315.

341

ὁ κισσεὺς Ἀπόλλων, ὁ βακχεύς, ὁ μάντις

342

δέσποινα νύμφη, δυσχίμων ὀρῶν ἄναξ

343

Paus. II 24, 4 Αἰσχύλος δὲ ὁ Εὐφορίωνος καλεῖ Δία καὶ τὸν ἐν θαλάσσῃ. Aeschylum fortasse habuisse Ζεὺς ἐνάλιος putat cl. Procl. in Plat. Cratyl. c. 147 p. 88 ὁ δὲ δεύτερος δυαδικῶς καλεῖται Ζεὺς ἐνάλιος καὶ Ποσειδῶν Hermann. Cl. Hesych. θαλάσσιος Ζεύς· ἐν Σιδῶνι τιμᾶται Aeschylum θαλάσσιον Δία dixisse suspicatur Nauck.

341 Macrob. Sat. I 18, 6 *Euripides in Licymnio Apollinem Liberumque unum eundemque deum esse significans scribit* »δέσποτα φιλόδαφνε Βάκχε, παιὰν Ἄπολλον εὔλυρε«. *Ad eandem sententiam Aeschylus* »ὁ κισσεὺς . . καβαιος (βάκσιος). ὁ μάντις«. Ad Νεανίσκους Hartung, ad Bassaras Nauck.

342 Orion Etym. p. 26, 5 τὰ δὲ εἰς Ξ μὴ ὄντα ἐθνικὰ ὁμοίως λέγεται καὶ ἐπὶ θηλυκῶν. Αἰσχύλος »δέσποινα . . δυσχείμων ὀρῶν ἄναξ«. Suid. ἄναξ θηλυκῶς. οὕτως Αἰσχύλος. Ad Edonos hoc fr. refert Hermann, (ad Callisto Hartung).

---

341 βακχεύς pro καβαιος (βακσιος) Nauck (Βακχεῖος Hermann).

344

Philo Iud. de provid. II p. 50 Aucher. *si, ut Aeschylus dixit, »Jovem ex sceleratorum genere eximit et ab iniustis lex«, oporteret contrarium esse illum [ex] iniustis; non ita tamen res se habet.* Schneidewin Philol. VI p. 610 Aeschylo haec adfingit: *τόν τοι Δία | ἐκ τῶν ἀνάγνων ἐξαφαιρεῖται νόμος | κἀκ τῶν ἀλιτρῶν.*

345

Phil. Iud. de provid. II p. 102 Auch. *alias civitates pestilentiae . . quod plenius Aeschylus asserit dicens »dira lues vacuam maxillam voracem in populos circumferens adimplet mortuorum corpora sepeliendo.* Aeschylo tribuit *στυγνὴ δὲ νοῦσος εἰς λεὼς κενὴν γνάθον | τὴν ὠμοβρῶτα περιφοροῦσ' ἐμπίμπλαται, θάπτουσ' ἀνοίκτως κατθανόντων* (vitiose) *σώματα* Schneidewin, *δεινὸς δὲ λοιμὸς* ‿‿ *γνάθον κενὴν | μαργῶσαν ἐν λαοῖσιν ἐνδατούμενος | πίμπλησι θνητῶν σώματ' ἐγκρύπτων ταφαῖς* Meineke, *δεινὴ δὲ λοιμὸς ἐν πόλει κενὴν γνάθον | μαργῶσαν ἄτης περιφέρουσ' ἐπίμπλατο | ἀνδρῶν γερόντων καὶ νέων πεσήμασιν* Bergk, *λοιμὸς ἄγριος | κενὴν γνάθον μαργῶσαν εἰς λαοὺς πέριξ | φέρων ἔπλησε, σώματ'* (malim *πτώματ'*) *εὐνάζων νεκρῶν* Nauck. *Maxillam voracem* fuit fortasse *μαλερὰν γνάθον.*

346

ζεῦγος τέθριππον

347

ναρᾶς τε Δίρκης

346 Phot. lex. p. 52, 20 (Etym. M. p. 409, 48 cum Etym. Flor. ed. Miller p. 140) *ζεῦγος· τὸ ἐκ δυοῖν τινῶν ζευγνύμενον, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων· καὶ γὰρ καὶ Ἰσοκράτης »τέθριππον ζεῦγος« εἶπεν καὶ Αἰσχύλος »ζεῦγος τεθρίππων«.* Ad Glaucum Potniensem haec fortasse pertinuisse putat Hermann (Opusc. II p. 64).

347 Phot. lex. p. 286, 8 et 17 *ναρᾶς τε Δίρκης· ῥευστικῆς. Αἰσχύλος.* Hesych. *ναιρᾶς· νευριστικῆς.* Ad Laium refert Har-

---

346 *τέθριππον* pro *τεθρίππων* Nauck (Lex. Vindob. p. XLVIII).

348

ἄτεγκτος παρηγορήμασιν

349

μὴ κακοῖς ἰῶ κακά.

350

⟨ΘΕΤ.⟩ ὁ δ' ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας
νόσων τ' ἀπείρους καὶ μακραίωνας βίου,
ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας
παιᾶν' ἐπευφήμησεν εὐθυμῶν ἐμέ.

tung, olim Sept. 259 ναρᾶς τε Δίρκης pro Δίρκης τε πηγαῖς interponebat Weil.

348 Phryn. Bekk. p. 6, 13 ἄτεγκτος παρηγορήμασιν· Αἰσχύλος. δοτικῇ ἀντὶ γενικῆς Ἀττικῷ ἐχρήσατο ἔθει. Sunt qui integrum Aeschyli versum conservatum putent in Anecd. Bekk. p. 458, 18 et apud Suid. »ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν«. ὁ μὴ βρεχόμενος μηδὲ προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡσεὶ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος διαβρέχεσθαι.

349 Phryn. Bekk. p. 48, 22 κακοῖς κακὰ ἰᾶσθαι· τὸ ἀποκρύπτειν τὰ φθάσαντα κακὰ τοῖς ἐφεξῆς πραττομένοις κακοῖς. Αἰσχύλος· »μὴ . . κακά«.

350 Plat. Reipubl. II p. 383 B (Euseb. Pr. Ev. XIII p. 647 A) πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα τοῦτο οὐκ ἐπαινεσόμεθα, τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ Ἀγαμέμνονι, οὐδ' Αἰσχύλου ὅταν φῇ ἡ Θέτις τὸν Ἀπόλλω ἐν τοῖς αὑτῆς γάμοις ᾄδοντα ἐνδατεῖσθαι

---

348 παρηγορήμασιν ἄτεγκτος poetam dixisse suspicatur Nauck. Mihi videtur Aeschylus παρηγορημάτων ἄτεγκτος scripsisse et grammaticus: γενικῇ ἀντὶ δοτικῆς Ἀττικῷ ἐχρήσατο ἔθει.

350 V. 1 ὁ δ' ἐνδατεῖται restituit Hermann (ὁ δ' ἐνεδατεῖτο Butler), τὰς ἐμὰς Grotius. — V. 2 μακραίωνας βίου pro μακραίωνας βίους (μακραίωνος βίου) Bothe.

κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα
ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ·
ὃ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρών,
αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν
τὸν παῖδα τὸν ἐμόν.

351

νῦν . . ἦλθ' ἐπὶ στόμα

352

θάρσει· πόνου γὰρ τἄκρον οὐκ ἔχει χρόνον.

»τὰς ἐὰς . . μακραίωνας βίους (μακραίωνος βίου Eusebius) . . ἐμόν«. Athenag. Suppl. pro Christ. c. 21 p. 104 affert v. 5—9 »κἀγώ τοι (vel τι) . . ἐμόν«. Phoebamm. in Rhet. vol. VIII p. 518 v. 7 sq. »ὃ δ' . . ἐν γάμοις παρὼν . . κτανών« Sophocli tribuit, Plut. de aud. poet. c. 2 p. 16 E v. 7 sq. »ὃν αὐτὸς . . ἐν δαίτῃ παρὼν . . κτανών« sine auctoris nomine exhibet. V. 7—9 (et 3) latine reddidit Anonymus in carmine de figuris (Rhet lat. min. ed Halm p. 64 sive Poet. Lat. min. ed. Baehrens vol. III p. 275) v. 35 sq. *ipse epulans, ipse exponens laeta omnia nuptae, ipse patrem prolemque canens idem ipse peremit.* Ad fabulam Ὅπλων κρίσιν cum Ern. Schneidero refert Hermann, ad Nereidas Hartung, ad Θαλαμοποιούς Wagner, ad Ψυχοστασίαν Butler, vide supra ad Memnonem.

351 Plat. Reip VIII p. 563 C οὐκοῦν κατ' Αἰσχύλον, ἔφη, ἐροῦμεν ὅτι νῦν ἦλθ' ἐπὶ στόμα; Plut. Amator. c. 18 p. 763 B ὃ τοίνυν ἐν ἀρχῇ καιρὸν εἶχε ῥηθῆναι μᾶλλον, οὐδὲ νῦν, ἐπεί γ' οὖν ἦλθεν ἐπὶ τὸ στόμα, κατ' Αἰσχύλον, ἄρρητον ἐάσειν μοι δοκῶ. Themist. or. IV p. 52 B ἐπειδὴ κατ' Αἰσχύλον νῦν ἦλθεν ἐπὶ στόμα. Cfr. Athen. V p. 217 C κατὰ τὸν εἰπόντα ποιητὴν »ὅττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔλθῃ«.

352 Plut. de aud. poet. c. 14 p. 36 B ἐπιφρητέον δὲ καὶ τῷ τοῦ Αἰσχύλου »θάρσει . . γὰρ ἄκρον . . χρόνον«, ὅτι τοῦτό ἐστι τὸ

---

351 νυν ἦλθ' ἐπὶ στόμα Nauck, malim νῦν ⟨γὰρ⟩ ἦλθ' ἐπὶ στόμα.
352 τἄκρον pro ἄκρον Burges.

353

ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

354

ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα

355

μιξοβόαν πρέπει
διθύραμβον ὁμαρτεῖν
σύγκωμον Διονύσῳ.

παρ' Ἐπικούρου θρυλούμενον ἀεὶ καὶ θαυμαζόμενον, ὡς οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν. Hoc fr. et quod sequitur ad Philoctetam refert Hartung. Cfr. Soph. Phil. 807 sq.

353 Plut. Cons. ad Apoll. c. 10 p. 106 C ὁ δὲ Αἰσχύλος καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακὸν λέγων ὧδε »ὡς . . ῥῦμα (ἴαμα deteriores libri) . . κακῶν«.

354 Plut. de Is. et Os. c. 20 p. 358 E εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως . . δοξάζουσι καὶ λέγουσιν, »ἀποπτύσαι . . τὸ στόμα« κατ' Αἰσχύλον. Cfr. quae ex Etymologici Magni cod. Vatic. 1818 edidit R. Reitzenstein Ind. lect. hib. Rost. 1890 p. 4 ἀπάργματα· λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτήρια. ἦν γάρ τι νόμιμον τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον διὰ τοῦ ⟨τοῦ⟩ δολοφονηθέντος ἀκρωτηριασμοῦ . . ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον, Αἰσχύλος ἐν ταῖς Περραιβίσιν (τοῖς προσλέβισιν cod.) ἱστορεῖ καὶ ἐν τῷ Λαΐῳ (τῶ πελαΐω cod., τῷ περὶ Λαΐου vel τῷ Λαΐῳ Reitzenstein). (Ad Cabiros refert Butler, ad Mysos Welcker Gr. Trag. p. 56, ad Nioben Hartung).

355 Plut. de *EI* Delph. c. 9 p. 389 A ᾄδουσι τῷ μὲν διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς πλάνην τινὰ καὶ διαφό-

---

353, 2 ὅπερ pro ὅσπερ vult Nauck.
355, 3 σύγκωμον pro σύγκοινον Tyrwhitt.

356

λαβὼν γὰρ αὐτόθηκτον Εὐβοικὸν ξίφος

357

ὑψηλὸν ἀμφιβᾶσα τεκτόνων πόνον

358

*οὐδὲ ἄπο * * αὐτὸν οὐ γὰρ ἐγγύθεν*
** * γέρων δὲ γραμματεὺς γενοῦ σαφής.*

ρησιν ἐχούσης· »μιξοβόαν« γάρ, Αἰσχύλος φησί«, πρέπει.. σύγκοινον Διονύσῳ«, τῷ δὲ παιᾶνα. Versus ad Neaniscos refert Hermann (opusc. V p. 25), ad Edonos Hartung.

356 Plut. de def. orac. c. 43 p. 434 A *τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε »λαβὼν.. αὐτόθαχτον (αὐτόθηκτον).. ξίφος«.* Ad *Θρῄσσας* refert Osann.

357 Plut. de cohib. ira c. 4 p. 454 E *τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ' ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν »ὑψηλὸν.. πόνον« ὥς φησιν Αἰσχύλος.* Verbum *συνεῖλεν* Aeschylo tribuit Hartung (*πόνον | συνεῖλεν*).

358 Plut. quaest. conviv. I 8, 1 p. 625 D *οἱ γὰρ πρεσβύτεροι πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγιγνώσκουσιν, ἐγγύθεν δὲ οὐ δύνανται· καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησὶν »οὐδὲ.. σαφής«. ἐκδηλότερον δὲ Σοφοκλῆς ταὐτὸ περὶ τῶν γερόντων· »βραδεῖα* (*βαρεῖα* Herwerden) *μὲν γὰρ ἐν λόγοισι προσ-*

---

357 *ἀμφιβᾶσα* pro *ἡβάσασα* (*ἡβήσασα* Heath) Paley.

358 *σὺ δὲ* pro *οὐδὲ* Heath. *ἰδοῦ δ' ἀποσταδόν· | οὐ γὰρ ἐγγύθεν· γέρων δὲ .. σαφής* Hermann. *σὺ δὲ | ἄπωθεν εἶδες αὐτόν· οὐ γὰρ ἐγγύθεν | ὁρᾷς· γέρων δὲ .. σαφής* Dindorf. *τηλοῦ δ' ἄγ' αὐγῶν δέλτον· οὐ γὰρ ἐγγύθεν | γραφὴν γέρων γε γραμματεὺς ἔγνω σαφῶς* vel *τηλοῦ δ' ἀπ' ὀμμάτων ἄγ'· οὐ γὰρ ἐγγύθεν γραφὴν γέρων γε γραμματεὺς ἔγνω* (vel *γέρων ἂν γραμματεὺς γνοίη*) *σαφῶς* F W Schmidt. *γέρων δὲ γραμματεὺς πέφυκεν οὐ σαφής* Meineke.

359

σύ τοί μ' ἔφυσας, σύ με καταφθερεῖν δοκεῖς.

360

παῦ' ὕδωρ δίκην πυρός

361

ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδος λυγροῦ
γέροντος

βολὴ μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου· πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός. (Ad *Σαλαμινίας* refert Hartung).

359 Plut. de monarch. democr. olig. c. 4 p. 827 C *ἀναγκαζόμενον τὸ Αἰσχύλειον ἀναφωνεῖν, ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ πολιορκητὴς ἀποβαλὼν τὴν ἡγεμονίαν »σύ τοί με φυσᾷς, σύ μοι (με) καταίθειν (με καταίθειν μοι) δοκεῖς«.* Plut. v. Demetr. c. 35 *καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον »σύ τοί με φυσᾷς* (*μ' ἔφυσας* ed.), *σύ μοι καταίθειν δοκεῖς«.* Ad Meleagrum, quem Althaea mater imposito igni fatali titione flammis consumpsit, vel potius ad Pentheum, in quem furiata Agave mater desaeviit, refert nescio quis apud Stanleium, ad Xantrias fabulam Stanley ipse et Welcker. Temere ad Niobam fabulam pertinere putat Hartung.

360 Plut. de primo frigore c. 14 p. 950 E *ὑπὸ τοὐναντίου φθείρεται τῶν ἀπολλυμένων ἕκαστον ὥσπερ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος εἰς τὸν ἀέρα. τὸ γὰρ ὕδωρ ὁ μὲν Αἰσχύλος, εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς εἶπε »παῦε ὕδωρ . . πυρός«.* (Ad *Ὑδροφόρους* pertinuisse putat Hartung).

361 Plut. in libro quod Stoici *παραδοξότερα* poetis dicant p. 1057 F *ὁ δὲ Στωικῶν σοφὸς . . γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ*

---

359 *σύ με καταφθιεῖν* (debebat *καταφθίσειν*) Grotius, *σύ με καταυανεῖν* Hermann, *σύ με καταιθαλοῦν* Conington, *σύ με καταφθείρειν* (vel *κατισχναίνειν*) Hartung pro *σύ με καταίθειν*. Scripsi *σύ με καταφθερεῖν* cl. Soph. O. R. 438 *ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.*

360 *ἔπαυσ' ὕδωρ* vel potius *ὕδωρ ἔπαυσ' αὐγὴν πυρός* F W Schmidt.

362

ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνήσκει τις, εἰ μὴ μοῖρα συντρέχοι βίου,
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.

363

ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

364

Λιβυρνικῆς μίμημα μανδύης χιτών

365

σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασιν

καί, κατ' Αἰσχύλον, »ἐξ . . καὶ ὀδυνοσπάδος . . γέροντος« εὐπρεπής, θεοειδής, καλλίμορφος. Ad Philoctetem refert Butler, ad Telephum Schuetz, ad Τροφούς Hartung ratus Peliam spectari in iuvenem mutandum.

362 Plut. de vit. et poes. Hom. c. 157 vol. V p. 1196 ed. Wytt. Αἰσχύλος . . οὕτως ἔφη· »ἀλλ' . . εἰ μὴ τέρμα . . μόρον«. (Ad Eleusinios refert Hartung).

363 Poll. VI 80 εἴποις δ' ἂν καὶ κοκκίσαι ῥόαν κατὰ Ἀριστοφάνην· »ὀξυγλύκειαν . . ῥόαν«. τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου. Verba Cereris Proserpinae dicta putat Bothe, ad Eleusinios refert verba cuiusdam sacra ἀμυήτῳ communicantis esse ratus Butler.

364 Poll. VII 60 ἡ δὲ μανδύη ὅμοιόν τι τῷ καλουμένῳ φαινόλῃ· τίνων δέ ἐστιν, ὡς μὴ περιερχώμεθα Κρῆτας ἢ Πέρσας, Αἰσχύλος ἐρεῖ »Λιβυρνικῆς (λιβυκῆς C) . . χιτών«. Steph. Byz. v. Λιβυρνοί p. 415, 10 εὕρηται τὰ Λιβυρνικὰ σκάφη καὶ Λιβυρνικὴ μανδύη εἶδος ἐσθῆτος. Ad Edonos refert Hartung, ad Oedipum alii.

365 Poll. VII 78 ὅτι μέντοι καὶ τρίμιτα εἰργάζοντο, Αἰσχύλος διδάσκει φήσας »σὺ δὲ . . ὑφάσμασιν«. Cfr. VII 36 σπάθη, ὅθεν

362, 2 μοῖρα pro τέρμα scripsi.

366

ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων

367

ὀστῶν στέγαστρον

368

Probus in Verg. Georg. III 34 p. 57, 22 *Erichthonius ex Electra et Jove nascitur, ut Scilos (soilos* P, *Aeschylus* Schneidewin) *scriptor tragicus sentit.*

369

τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή

καὶ τὸ σπαθᾶν καὶ ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ καὶ σπαθητοῖς ὑφάσμασιν, Hesych. *τριμίτινα ὑφάσματα· τρίμιτα.* Ad Edonos refert Hartung.

366 Poll. VII 167 *προσήκοι δ' ἂν βαλανείῳ λουτρὸν καὶ λοῦσθαι· »λοῦται γε μὲν δὴ λουτρὸν αὖ τὸ* (*αὖ τὸ* pro *αὐτὸ* Butler) *δεύτερον«* (hunc ignoti poetae versum hic collocavit Nauck, post *λουτήρια λέγειν* habent libri). *καὶ λουτρῶνες . . Αἰσχύλος δ' ἂν ἐοίκοι τὰ βαλανεῖα λουτήρια λέγειν· »ἀλλ' . . λουτηρίων«.* Poll. X 46 *λουτηρίου τινός, ἐπεὶ καὶ τοῦτο τοὔνομα ἐπὶ μὲν τῶν λουτρῶν Αἰσχύλος εἴρηκεν κτἑ.* Glauco Pontio versum tribuit Hermann (opusc. II p. 69).

367 Poll. X 180 *καὶ στέγαστρον δὲ ὅστις ἐθέλοι ὀνομάζειν, ᾗπερ ἡ πολλὴ χρῆσις, τὴν στεγαστρίδα διφθέραν, τὸν σκύτινον τοῦτον χιτῶνα, καταφευγέτω ἐπὶ τὸν Αἰσχύλον εἰπόντα »ὀστέων στέγαστρον«.* Ad *'Οστολόγους* refert Dindorf.

369 Procl. in Hesiod. Op. 156 *τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν Αἰσχύλον »τοῦ . . γυνή«.* Ad unam ex fabulis ad Prometheum pertinentibus refert Hermann (opusc. IV p. 272), ad Prom. sol. Butler.

---

369 Malim *θνητὸν γένος* vel potius *θνητὸν φυτόν.*

370

μελαστέρφων γένος

371

ὦ Κραναὰ πόλις

372

ἀφρὸς
βορᾶς βροτείας ἐρρύη κατὰ στόμα.

373

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

370 Schol. Apoll. Rh. IV 1348 *στέρφεσιν αἰγείοις, τοῖς δέρμασιν* . . *ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν* »*μελαστέρφων* (*μελανοστέρφων* apographa) *γένος*«, *οὐχ ὥς τινες μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα.* Ad anapaestos quibus initium factum erat Promethei Soluti refert Hermann, ad Memnonem Butler.

371 Schol. Aristoph. Ach. 75 *ὦ Κραναὰ πόλις*: *τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν· καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.* Eum. 1012 *πολισσοῦχοι παῖδες Κραναοῦ* respici suspicatur Nauck.

372 Schol. Aristoph. Lys. 1257 *παρὰ τῷ Ἀρχιλόχῳ* »*πολὺς δ' ἀφρὸς ἦν περὶ στόμα*« . . *Αἰσχύλος δὲ* »*ἀφρὸς βορρᾶς* (*βορῆς*) . . *ἐρρυηκότα στόμα*«. Ad Glaucum Potniensem locum refert Kausche l. l. p. 290.

373 Schol. Aristoph. Nub. 1130 *ἐλέγετο γὰρ ληστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος* »*δεινοὶ* . . *Αἰγύπτιοι*«. Schol. Theocr. 15, 48 *ὡς λέγει ὁ Αἰσχύλος* »*δεινοὶ* . . *Αἰγύπτιοι*«. Sine poetae nomine afferunt versum Steph. Byz. v. *Αἴγυπτος*, Zenob. 3, 37, Ps. Diogenian. 4, 35, Macar. 3, 21, Schol. Aristid. p. 553, Suid. v. *δεινοὶ*

---

370 *μελανστέρφων* Nauck, *μελανόστερφον* Hartung.
372 *ἐρρύη κατὰ* pro *ἐρρυηκότα* Porson.

374

οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια

375

ἀμήχανον τέχνημα καὶ δυσέκλυτον

376

Schol. Eur. Phoen. 942 *οἱ περιλειφθέντες τῶν Σπαρτῶν, ὡς Αἰσχύλος φησίν, ἦσαν Χθόνιος Οὐδαῖος Πέλωρ Ὑπερήνωρ Ἐχίων, ὃς ἔγημεν Ἀγαύην τὴν Κάδμου κτέ.* Cfr. Hermann opusc. VII p. 192. Ad Laium vel Oedipum pertinuisse putat Butler. Aut corruptum esse nomen *Αἰσχύλος* aut nomina ista ab interpretibus Aeschyli commemorata ad poetam transtulisse grammaticum putat Nauck. Ad Sept. 399 sq. illud *ὡς Αἰσχύλος φησίν* referendum esse suspicatur E Schwartz ad Eur. schol. l. l.

377

οὔτε δῆμος οὔτ' ἔτης ἀνὴρ

πλέκειν, Eustath. Dionys. P. 232, Eustath. Od. p. 1494, 10. Versum sumptum esse ex Danaidibus suspicatur Hermann (opusc. II p. 333), ex *Θαλαμοποιοῖς* Oberdick.

374 Schol. Aristoph. Nub. 1364 *ἀλλὰ μυρρίνην λαβόντα τῶν Αἰσχύλου λέξαι τί μοι: παρὰ τὰ Αἰσχύλου »οὕνεκ' .. λειμώνια«* (verba corrupta).

375 Schol. Eur. Or. 25 *ἡ γὰρ Κλυταιμήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντα .. Αἰσχύλος δέ φησιν »ἀμήχανον τεύχημα καὶ δυσέκλυτον«*. Versum loco Cho. 997 interponendum esse suspicor.

377 Schol. Hom. *Z* 239 (Eustath. Il. p. 641, 58), ubi de nomine *ἔτης* cum spiritu leni dicendo agitur: *παρὰ γοῦν Αἰσχύλῳ εὕρομεν »οὔτε .. ἀνήρ«*. Cfr. Corp. Inscr. Gr. I p. 26 *αἴτε Ϝέτας αἴτε τελεστὰ αἴτε δᾶμος ἐντ'* (Bergk Herm. XVIII p. 515).

---

375 *τέχνημα* pro *τεύχημα* Nauck. Idem vel Dindorf *δυσέκδυτον* coniecit.

378

σπίδιον μῆκος ὁδοῦ.

379

ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας
κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι
εὔξασθε

380

Schol. Hom. *Π* 380 *Αἰσχύλος δὲ Ἀχιλλέα* (*Ἕκτορα* Hermann opusc. V p. 145) *σὺν τῇ πανοπλίᾳ φησὶν ὄπισθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον μὴ δείξαντα τὰ νῶτα τοῖς ἐχθροῖς.* Cfr. Aristoph. Ran. 928 *σαφὲς δ' ἂν εἶπεν* (*Αἰσχύλος*) *οὐδὲ ἕν . . ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ ἐπ' ἀσπίδων ἐπόντας γρυπαιέτους χαλκηλάτους.* Vide supra p. 537 ad Myrmid. et infra ad fr. 491. Wagner dubitat, an scholiastes ad Phryges vel Psychostasiam respexerit.

378 Schol. Hom. *Λ* 754 (Etym. M. p. 271, 19) *οἳ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ »σπίδιον . . ὁδοῦ«.* Etym. cod. Voss. p. 780 D *οἳ δέ φασι σπιδέος πολλοῦ καὶ μακροῦ. σπίζω γὰρ τὸ ἐκτείνω ὡς καὶ Αἰσχύλος »σπίδιον . . ὁδοῦ«.* Eustath. Il. p. 882, 58 *συνηγορεῖ δὲ τῇ τοῦ σπιδέος γραφῇ καὶ τὸ παρ' Αἰσχύλῳ »σπίδιον πεδίον«* (erratum Homerici loci commutatione) *ὅ ἐστι μακρὸν κατὰ τοὺς παλαιούς.* Hesych. *σπιδές· μέγα, πλατύ, εὐρύ· σπίδιον· τὰ αὐτά.* Ad Heliades verba pertinuisse suspicatur Hermann (opusc. III p. 139 sq.).

379 Schol. Hom. *Ξ* 200 (*α* 98) *ὁμοίως δὲ καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματί φησιν ἵστασθαι· »ὑμεῖς . . περίστητ'* (*περίστατ'* vel *περίστατε* schol. Od.) *. . εὔξασθε«. τοῦτο δέ ἐστιν ἐν τάξει κατὰ κύκλον. ὁ γὰρ λόχος ἐστὶ τάξις, ἐπεὶ καὶ ὁ λοχαγὸς ταξίαρχος.* E Danaidibus repetivit Hermann (opusc. II p. 324 sq.), e Mysis Droysen, e Prom. sol. Hartung.

381

ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῆσδε καρτερωτέρα;

382

πάτερ Θέοινε, μαινάδων ζευκτήριε

383

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ

384

ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ

385

οἷ τοι στεναγμοὶ τῶν πόνων ἀρτύματα.

381 Schol. Hom. Π 542 Αἰσχύλος· »ὅπου .. τῶνδε καρτερωτέρα;« (Ad Prom. sol. refert Hartung).

382 Schol. (et Tzetz.) Lycophr. 1247 Θέοινος ὁ αὐτός (Διόνυσος), ὡς Αἰσχύλος· »πάτερ .. ζευκτήριε«. Harpocr. v. Θεοινια: τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν α′ Συναγωγῶν. Cfr. Hesych. Θεοίνια· θυσία Διονύσου Ἀθήνησι. καὶ θεὸς Θέοινος Διόνυσος. Ad Xantrias aut ad aliquam ex iis tragoediis quae Bacchi res gestas tractarent pertinuisse putat Butler, ad Νεανίσκους refert Hartung.

383 Schol. Pind. Nem. X 31 λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν καὶ Αἰσχύλος »Ἥρα .. δάμαρ«. ἔστι γὰρ αὕτη γαμηλία καὶ ζυγία.

384 Schol. Pind. Phyth. II 18 ἐναγώνιος δὲ ὁ Ἑρμῆς ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος φησίν· »ἐναγώνιε .. Ἑρμᾶ«.

385 Schol. Soph. El. 286 ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά· Αἰσχύλος »οἷ τε (alii libri οἱ γὰρ vel οἱ δὲ) .. ἐρείσματα«. Schol. Hom. Ψ 10 Αἰσχύλος »οἷ τοι .. ἰάματα«.

---

381 τῆσδε pro τῶνδε Grotius.

385 ἀρτύματα scripsi pro ἐρείσματα (ἰάματα). κουφίσματα Porson praef. ad Hec. p. 10, ἐρύσματα Hermann, ῥαίσματα M Schmidt.

386

λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει

387

ἔφριξ' ἔρωτι τοῦδε μυστικοῦ τέλους

388

δέσποιν' Ἑκάτη,
τῶν βασιλείων πρόδομος μελάθρων

386 Schol. Soph. O. C. 1048 *τὰ περὶ Ἐλευσῖνα τέλη φησί, καὶ εἴη λαμπάσιν ἀκταῖς ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις καὶ δᾳδουχουμέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων περὶ ὧν Αἰσχύλος φησί* »*λαμπραῖσιν ἀστραπαῖσιν .. σθένει*«. Ad Eleusinios hoc et proximum fr. rettulit Pauw, ad Iphigeniam vel *Ἱερείας* Fritzsche Aristoph. Ran. p. 385, ad Oedipoda Lobeck ad Soph. Ai. v. 692 et Bothe.

387 Schol. Soph. O. C. 1049 *τέλη δὲ τὰς τελετάς· καὶ Αἰσχύλος* »*ἔφριξ', ἔρως δὲ .. τέλους*«. (Ad Bacchas sive Bassaras refert Hartung).

388 Schol. Theocr. II 36 *ἱδρύοντο δὲ αὐτὴν* (*τὴν Ἑκάτην*) *καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος* »*δέσποιν' .. πρόδρομος* (*πρόδομος* in uno libro idque ex coniectura scripsit Butler) *μελάθρων*«. Aristid. vol. I p. 27 *ἀλλ' ὦ τῶν βασιλείων πρόδρομος μελάθρων, Αἰσχύλῳ χορὸς ᾖσε, τῶν τε οὐρανίων καὶ πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων, ἃ νύκτωρ μοι προύφαινες, δίδου μὲν τιμὰς παρ' ἀμφοτέρων τῶν βασιλέων κτέ.* Ad Aegyptios refert Tittler, ad *Τροφῶν* parodum pertinuisse putat Hartung.

---

386 *καὶ δᾴδων σθένει* anonymus Diar. class. Lond. 1816 p. 36. *λαμπάδων σέλας* apud Hermanum legitur, *λαμπάδων φλέγει* Herwerden Exerc. crit. p. 5 coniecit.

187 *ἔρωτι* pro *ἔρως δὲ* Jacobs et Brunck. *ἐρῶ δὲ* Dindorf, *ἐρῶσα* Meineke.

389

κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.

390

ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός.

391

ἁμαρτάνει τοι καὶ σοφοῦ σοφώτερος.

392

ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων.

393

κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

394

οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

389 Stob. Ecl. 2, 8, 10 p. 155, 22 *Αἰσχύλου·* »*κοινὸν* (*καινὸν* P) . . *κεκτημένων*«. Idem versus in Men. mon. 679.

390 Stob. Flor. 3, 1 *Αἰσχύλου.* »*ὁ χρήσιμ'* . . *σοφός*«. Sic MA, eclogam om. S, in ed. Trinc. *Αἰσχύλου·* »*ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. ὁ χρήσιμ'* . . *σοφός*«. Priorem versum non esse Aeschyli apparet.

391 Stob. flor. 3, 10 *Αἰσχύλου* (sic MA, eclogam om. S)· »*ἁμαρτάνει τοι* (*τι* M) . . *σοφώτερος*«.

392 Stob. flor. 4, 16 *Αἰσχύλου·* »*ἦ* . . *ἄφρων*«. Versum Aeschylo abiudicat Hermann mutata apud Stobaeum notatione (v. supra ad Phryges p. 600).

393 Stob. flor. 18, 13 *Αἰσχύλου·* »*κάτοπτρον* . . *ἐστιν* (*ἐστ'*) . . *νοῦ*«. Sine auctore affert versum Athen. X p. 427 F et Aeschyli eum esse non putat Kaibel. Ad Argo refert Hartung.

394 Stob. flor. 27, 2 *Αἰσχύλου* (sic SMA, *⟨Αἰ⟩σχίνους* L, *Ἀλέξιδος* Arsenius p. 579, 25 et Trinc.)· »*οὐκ* . . *πίστεις* (*πίστις*) . . *ἀνήρ*«. Ad *Περραιβίδας* refert Hartung.

389—391 Aeschyli esse non credit Hartung.

391 *χὠ σοφοῦ σοφώτερος* O Crusius.

395

φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

396

καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.

397

πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

398

κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

399

τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

400

γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

395 Stob. flor. 29, 21 *Αἰσχύλου* (*Εὐριπίδου* Arsenius p. 712, 13 et Trinc.)· *φιλεῖ δὲ τῷ* (*φιλεῖ* — *φιλοῖ* pr. — *δέ τοι, δαιμόνιε, τῶ* M) . . *θεός* (*θεοῖς* M).

396 Stob. flor. 29, 44 *Αἰσχύλου*· »*καλὸν* . . *γέροντα* . . . . *σοφά*«. Idem versus Men. mon. 279 ubi *γέροντι*. Cfr. Anecd. Boiss. vol. III p. 471 *καλὸν δὲ γέροντι μαθεῖν τὸ καλόν*, Philostr. Vit. soph. 2, 2, 9 *καὶ ὁ Μάρκος* »*καλόν, ἔφη, καὶ γηράσκοντι τὸ μανθάνειν*«.

397 Stob. flor. 34, 5 *Αἰσχύλου* (sic SM, ecl. om. A)· »*πρὸ* . . *στόμα*«.

398 Stob. flor. 45, 14 *Αἰσχύλου*· »*κακοὶ* . . *ἀνασχετοί*«.

399 Stob. flor. 98, 49 *Αἰσχύλου*· »*τὸ* . . *ἐφήμερα* (*ἐφημέρια* S et Apostol. p. 686, 3) . . *σκιά*«. (Ad Nioben refert Hartung).

400 Stob. flor. 115, 10 *Αἰσχύλου*· »*γῆρας* . . *ἐνδικώτερον*«.

---

399 *ἐφ' ἡμέρᾳ* pro *ἐφήμερα* (*ἐφημέρια*) Lobeck, *ἐφ' ἡμέραν* Hartung.

401

ζόης πονηρᾶς θάνατος αἱρετώτερος·
τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα.

402

ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται

403

Βοῦραν καθ' ἱερὰν καὶ κεραυνίας Ῥύπας

401 Stob. flor. 121, 17 *Αἰσχύλου* (sic S A, ecl. om. M)· »*ζωῆς* .. *εὐπορώτερος* (*αἱρετώτερος* Men. mon. 193) .. *ἐστι μᾶλλον ἢ πεφυκέναι* .. *κρεῖσσον κακῶς πάσχοντα* (verba *κρεῖσσον* .. *πάσχοντα* om. S). Euripidi locum mavult tribuere quam Aeschylo LDindorf Thes. Gr. L. vol. VIII p. 1177 A ac primus versus Aeschyli (cfr. ad fr. 90), reliqui Euripidis vel alius poetae esse videntur. (Ad Oedipum refert Hartung).

402 Strab. VI p. 258 *ὠνομάσθη δὲ Ῥήγιον, εἴθ' ὥς φησιν Αἰσχύλος διὰ τὸ σύμβαν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν* »*ἀφ'* .. *κικλήσκεται*«. Ad Glaucum Pontium refert Hermann (ad Prom. sol. Schuetz).

403 Strab. VIII p. 387 *τὴν δὲ χώραν Ῥυπίδα καλουμένην ἔσχον Αἰγιεῖς καὶ Φαριεῖς. καὶ Αἰσχύλος δὲ λέγει που· Βοῦράν θ' ἱερὰν* .. *Ῥύπας*«. Phot. lex. p. 492, 10 *Ῥύπες* (*ῥύπαις* cod.)· *πόλις τῶν Ὠλενίων Ἀχαιῶν. οὕτως Αἰσχύλος*. Hesych. *Ῥύπας· τοὺς ἐν* (*ἐπὶ* Wilamowitz) *τῇ Ἀρκαδίᾳ Ἀχαιούς*. Ad Glaucum Pontium locum pertinuisse putat Hartung. Cfr. Wilamowitz Isyllos von Epidauros p. 114.

401, 1 *ζόης* pro *ζωῆς* Dindorf. — 2 *ἐστιν ἢ* pro *ἐστι μᾶλλον ἢ* Grotius. — 3 *κράσσοντα* Nauck.

403 *Βοῦραν καθ'* pro *Βοῦράν θ'* Meineke. *ἱεράν τε Βοῦραν* Casaubonus, *καὶ Βοῦραν ἱερὰν* Schuetz.

404

Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς.

405

Strab. XV p. 728 *φησὶ δὲ καὶ Αἰσχύλος τὴν μητέρα Μέμνονος Κισσίαν.* Ad Psychostasiam aut ad Memnonem referunt Butler, Schuetz, Hermann. Cfr. Paus. X 31, 7 *παρὰ δὲ τῷ Μέμνονι καὶ παῖς Αἰθίοψ πεποίηται γυμνός, ὅτι ὁ Μέμνων βασιλεὺς ἦν τοῦ Αἰθιόπων γένους. Ἀφίκετο μέντοι ἐς Ἴλιον οὐκ ἀπ' Αἰθιοπίας, ἀλλὰ ἐκ Σούσων τῶν Περσικῶν καὶ ἀπὸ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἔθνη πάντα ὅσα ᾤκει μεταξὺ ὑποχείρια πεποιημένος.* Apud Strabonem Aeschyli loco Sopoclis nomen substituendum putat Wagner.

406

ἀγησίλαος

407

[αἰγίζειν]

404 Strab. IX p. 393 *ἔχει (Σαλαμίς) δ' ὁμώνυμον πόλιν, τὴν μὲν ἀρχαίαν πρὸς Αἴγιναν τετραμμένην καὶ πρὸς νότον, καθάπερ καὶ Αἰσχύλος εἴρηκεν »Αἴγινα .. πνοάς«, τὴν δὲ νῦν ἐν κόλπῳ κειμένην.* Ad *Σαλαμινίας* refert Wagner.

406 Athen. III p. 99 B *Σιμωνίδης που ὁ ποιητὴς ἀρίσταρχον εἶπε τὸν Δία καὶ Αἰσχύλος τὸν Ἅιδην ἀγησίλαον.* Cfr. Hesych. *ἀγεσίλαος· ὁ Πλούτων (ἄγες λαός· ὁ πλουτῶν* cod.). »Populorum ducem« interpretatur Casaubonus, rectius »populorum coactorem« Schweighäuser. Ad Psychagogos refert Wagner.

407 Hesych. et Suid. *αἰγίζειν· διασπᾶν, ἐκ μεταφορᾶς, παρ' ὃ καὶ τὸ αἰγίζεσθαι (αἰκίζεσθαι* Hes. cod.), *ἀπὸ τῶν καταιγίδων (ἐκ μεταφορᾶς ἀπὸ τῶν καταιγίδων, παρ' ὃ καὶ τὸ αἰγίζεσθαι* Bernhardy). *Αἰσχύλος. ὁ δ' αὐτὸς κτέ.* Vide ad fr. 64.

---

404 *Αἴαντος ἄστυ πρὸς* Loeschke de titulis aliquot Atticis quaest. hist. p. 35, *Αἴγινα ταύτῃ πρὸς* J Toepffer quaest. Pisistr. p. 11, *Αἴγινα δ' ἄστει* F G Schmidt Krit. Stud. I p. 112, *Αἴγινα δ' αὐτῇ* Herwerden Mnemos. N. S. XX p. 432.

408

[*Αἴνηθος*]

409

ἀλαβαστροφόρος

410

ἀλεός

411

ἀλκαθεῖν

412

Ἄμφις

413

ἀναγκόδακρυς

414

ἀπαίρειν

408 Steph. Byz. p. 51, 1 *Αἴνηθος, ὄρος. Αἰσχύλος. τὸ ἐθνικὸν Αἰνήθιος.* Cum cod. *Π Αἰσχύλου* exhibeat, recte videtur J Gronovius *ὄρος Αἰγύπτου* coniecisse.

409 Poll. VII 177 *καὶ τὸν τὰς ἀλαβάστρους φέροντα Αἰσχύλος εἴρηκεν ἀλαβαστροφόρον.* Ad Edonos refert Welcker.

410 Hesych. *ἀλαιός· ὁ παλαιός* (*μάταιος* F G Schmidt), *ἄφρων. Αἰσχύλος.* Restituit *ἀλεός* Dindorf cl. Herod. *π. μον. λέξ.* p. 4, 19, schol. Aristoph. Lys. 988, Etym. M. p. 59, 45.

411 Anecd. Bekk. p. 383, 31 *ἀλκάθω καὶ ἀλκάθειν. Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.* Accentum correxit Elmsleius ad Eur. Med. 186.

412 Etym. M. p. 93, 51 (Zon. lex. p. 165) *Ἄμφις. τοῦτο οὐ συγκοπή, ἀλλὰ μετασχηματισμός· ἀπὸ γὰρ τοῦ Ἀμφιάραος Ἄμφις, ὡς παρ' Αἰσχύλῳ,* p. 159, 31 *καὶ Ἀμφιάραος Ἄμφις.* Ad Epigonos refert Hartung.

413 Phryn. Bekk. p. 20, 13 *ἀναγκόδακρυς· ὁ πρὸς ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθους τινὸς ἢ συμφορᾶς. Αἰσχύλος.*

414 Phryn. Bekk. p. 6, 16 *ἀπαίρειν· τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης* (*ὡς* delendum videtur).

415

ἀπέλλητοι

416

ἀρχῆθεν

417

ἆσαι

418

ἀσχαδές

419

αὐλών

420

[αὖρι]

421

βοῦ

415 Anecd. Bekk. p. 421, 5 *ἀπέλλητοι· ἀνταγωνισταί* (*ἀνανταγώνιστοι* Dindorf). Cfr. Philol. II p. 223.

416 Anecd. Bekk. p. 450, 4 *ἀρχῆθεν. οὐκ ἔστι παρὰ τοῖς Ἀττικοῖς πλὴν παρ' Αἰσχύλῳ. παρ' Ἡροδότῳ δὲ ἔστι καὶ τοῖς Ἴωσιν.*

417 Anecd. Bekk. p. 450, 30 *ἆσαι· βλάψαι. οὕτως Αἰσχύλος.*

418 Etym. M. p. 161, 15 *ἀσχαδές· ἀκατάστατον. Αἰσχύλος.* Cfr. Hesych. *ἀσχαδές· ἀμετάσχετον.* Utroque loco *ἀκατάσχετον* legendum putat Nauck.

419 Eustath. Il. p. 1157, 36 *Αἰσχύλος δέ φησι καὶ τὴν τάφρον αὐλῶνα.* Hesych. *αὐλῶνες· οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος καὶ τὴν τάφρον καὶ τὴν πυράν.* Cfr. Prom. 757.

420 Vide ad fr. 280. Non *αὖρι*, sed *αὐριβάτας* usurpavit Aeschylus.

421 Choerob. in Theod. p. 237, 8 (Anecd. Bekk. p. 1196) *εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.*

422

γρυπαίετος

423

ἐδανοῖς

424

εἰλαπίναι

425

ᾐόνησας

426

ἠριγένεια

427

ἴττυγα

422 Aristoph. Ran. 929 *σαφὲς δ' ἂν εἶπεν* (*Αἰσχύλος*) *οὐδὲ ἕν . . ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ ἐπ' ἀσπίδων ἐπόντας γρυπαιέτους χαλκηλάτους*. Cfr. supra ad Memnonem p. 537.

423 Hesych. *ἐδανοῖς· βρωσίμοις. Αἰσχύλος.* Cfr. Ag. 1407 *ἐδανόν*.

424 Athen. VIII p. 362 F *τὰς δὲ τοιαύτας εὐωχίας Αἰσχύλος καὶ Εὐριπίδης* (Med. 193) *εἰλαπίνας ἀπὸ τοῦ λελαπάχθαι*.

425 Etym. Flor. ed. Miller p. 151 *ᾐόνησας σὺν τῷ Ι ἀντὶ τοῦ ἔλουσας ἢ κατήντλησας· εἴρηται δὲ ἐν τῷ ἐξῃονήθην. Ὦρος ὁ Μιλήσιος. ἡ δὲ χρῆσις παρὰ Αἰσχύλῳ.* Cho. 78 *ᾐόνησαν* restituendum videtur.

426 Hesych. *ἠριγένεια* (*ἠριγένιαν* cod.)*· ἡ τὴν ἡμέραν γεννῶσα· ἢ ⟨ἡ⟩ τῷ ὄρθρῳ ἢ τῷ ἦρι γεννωμένη. καὶ παρ' Αἰσχύλῳ ἡ λέαινα ἠριγένεια ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα ἢ ἡ ἐν τῷ ἔαρι.* Ad Athamantem refert Welcker.

427 Hesych. *ἴττυγα· ἐκπληκτικά. Αἰσχύλος.*

---

426 *ἠυγένεια* Aeschylum dixisse monuit M Schmidt.

427 *ἴστυγα* pro *ἴττυγα* coniecit Alberti, *ἰυκτά* Hartung, *ἀτυζηλά* M Schmidt cl. Hesych. *ἀτ[τ]υζηλόν· φοβερόν, ἀφανές, ἄσημον.*

428

καταφαγᾶς

429

κεκαχρῦσθαι

430

κραταίπιλος

431

Κυνοκέφαλοι

428 Poll. VI 40 *παμπόνηρον δὲ καὶ τὸ παρὰ Μυρτίλῳ τῷ κωμικῷ καταφαγάς, κἂν Αἰσχύλος αὐτὸ ᾖ προειρηκώς.* Cfr. Dind. in Thes. L. Gr. vol. IV p. 1376, Nauck Aristoph. Byz. p. 218.

429 Hesych. *κεχρηματεῖσθαι* (i. e. *κεχρηματίσθαι*). *πεφρύχθαι. Αἰσχύλος.* (Schütz proponit *πεφράχθαι* pro *πεφρύχθαι*).

430 Choerob. in Anecd. Oxon. vol. II p. 318, 6 (Anecd. Bekk. p. 1391) *τὰ παρὰ τὸ κρᾶτα διὰ τοῦ ΑΙ γράφεται, οἷον κραταίβιος, κραταίπιλος ὁ ἰσχυρὸν πίλιον ἔχων παρ' Αἰσχύλῳ.* Cfr. Eustath. Od. p. 1938, 2 *κατὰ τὴν τεχνικὴν παράδοσιν ἀναλογεῖ τῇ συνθέσει τοῦ κραταιπέδου καὶ τὸ κραταίβιος, κραταίπιλος, κραταίτονος.*

431 Strab. I p. 43 *Ἡσιόδου δ' οὐκ ἂν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους .. οὐδ' Ἀλκμᾶνος Στεγανόποδας ἱστοροῦντος οὐδ' Αἰσχύλου Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους*, VII p. 299 *Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους* (*Μακροκεφάλους* LDindorf) *καὶ Πυγμαίους .. Αἰσχύλον δὲ Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους [ἐν τῷ Προμηθεῖ φασι] καὶ ἄλλα μυρία.* Verba *ἐν τῷ Προμηθεῖ φασι* ex margine allata esse monuit Heyne. Cfr. Prom. 830 *μουνῶπα στρατὸν Ἀριμασπόν. Κυνοκεφάλων* et *Στερνοφθάλμων* in Prom. Sol. in enarratione itinerum Herculis mentionem esse factam putat Butler.

---

429 *κεχρωματίσθαι* Dindorf, unde apud Hesychium ordine literarum ductus *κεχρᾶσθαι· κεχρωματίσθαι, πεφύρθαι. Αἰσχύλος* coniecit M Schmidt, ut *κεχρᾶσθαι* Aeschylo adscribendum foret. At *κεκαχρῦσθαι· πεφρῦχθαι* restituit Kontos Ἀθην. I p. 421 sq.

432

χυντερώτατα

433

λάμπουρις

434

μειζονώτερος, ὑπερτερώτερος, χερειότερος, πλειότερος, ῥηίτερος

435

. ὀμίχματα

436

οὐρανιζέτω

432 Phot. lex. p. 188, 20 χυντερώτατα καὶ χυντατώτατα λέγουσιν. Εὔβουλος Παρμενίσκῳ »ἀπὸ τῶν ἐκείνου καὶ τὰ χυντατώτατα«. Φερεκράτης Λήροις »ἔπειτα ἕτερα τούτων ποιοῦντα πολλὰ χυντερώτερα« καὶ Αἰσχύλος. Fortasse significari μειζονώτερος (fr. 434) putat Nauck.

433 Phot. lex. p. 206, 18 λαμπουρίς· ἡ ἀλώπηξ παρ' Αἰσχύλῳ.

434 Maxim. Planud. post Etym. Gud. p. 648, 46 (Anecd. Bachm. vol. II p. 75, 14) καὶ τὸ μεῖζον μειζότερον καὶ μειζονώτερον Αἰσχύλος καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον καὶ χερειότερον καὶ πλειότερον καὶ τὸ ῥᾷον ῥηίτερον. Anecd. Barocc. in Mus. philol. Cantabr. vol. II p. 114 βαρεώτερος· ἀπὸ τῆς γενικῆς εἶπον, βαρέως (l. βαρέος) βαρεώτερος, σπανίως μέντοι· καὶ ἔτι Αἰσχύλος μειζονώτερος ὑπερτερώτερός τε καὶ χερειότερος καὶ ῥηίτερος καὶ πλειότερος. Ag. 436 ὑπερτερώτερα pro ὑπερβατώτερα coniecit Weil.

435 Phot. lex. p. 331, 2 ὀμάμαιτα· τὰ οὐρήματα. Αἰσχύλος. Emendatum ὀμίχματα ex Hesych. ὀμίχματα· οὐρήματα. Ad locum unde fr. 179 sumptum rettulit Mekler.

436 Phot. lex. p. 361, 11 οὐρανιζέτω· πρὸς τὸν οὐρανὸν διακνείσθω. Αἰσχύλος. Corrupte Anecd. Bachm. vol. I p. 322, 19 et

---

433 λάμπουρις pro λαμπουρίς secundum Etym. M. p. 474, 4 et Hesych. scripsit L. Dindorf.

437

πάλμυδος (?)

438

πεφρασμένος

439

πρέψαι

440

στέμβω

441

Στερνόφθαλμοι

Hesych. *οὐρανίζετο* (*οὐράνιζεν τὸ* cod. Bachm.) *πρὸς τὸν οὐρανὸν διικνεῖτο. Αἰσχύλος* (*Αἰσχύλος* om. Hesych.). Verbum *οὐρανίζον* Eum. 570 restituebat Merkel.

437 Choerob. in Theod. p. 232, 4 (Anecd. Bekk. p. 1408) *πάλμυς πάλμυος· τὸ γὰρ πάλμυδος διὰ τοῦ ΔΟΣ κλιθὲν παρ' Αἰσχύλῳ* (*παρ' Αἰσχίνῃ* cod. Marc.) *ἡμάρτηται. ἔστι δὲ ὄνομα κύριον* (*Φρύγιον* Nauck) *βασιλέως*. Genetivo *πάλμυδος* usus est Hipponax, unde ten Brink Philol. VI p. 70 Aeschylum pro Hipponacte per errorem scripsisse Choeroboscum probavit. Scripsit autem fortasse *παρ' Αἰσχρίωνι*.

438 Phot. lex. p. 427, 9 *πεφρασμένος· παρεσκευασμένος εἰς τὸ φρασθῆναι, προσεκτικὴν ἔχων διάνοιαν. Αἰσχύλος*. Cfr. Hesych. *πεφρασμένος· παρεσκευασμένος εἰς τὸ φρασθῆναι, προσακτικὴν ἔχων δύναμιν* (i. e. *προσεκτικὴν . . διάνοιαν*).

439 Phot. lex. p. 447, 14 *πρέψαι· τὸ ὁμοιῶσαι* (*ὁμοιοῦσθαι* Schleusner, *ὡμοιῶσθαι* Nauck). *Αἰσχύλος*. Cfr. Hesych. *πρέψας· εἰκασμένος, εἰκασθείς*. Sine probabilitate Ag. 1327 *πρέψειεν* pro *τρέψειεν* scribunt.

440 Etym. Gud. p. 85, 45 (apud Gaisf. p. 451 B, Anecd. Paris. vol. IV p. 61, 18) *ἀστεμφὴς καὶ ἀστεμφέως . . παρὰ τὸ στέμβω ὃ σημαίνει τὸ κινεῖν συνεχῶς, οὗ μέμνηται Αἰσχύλος*. Pers. 574 *στέμβονται* intercidisse puto (*στέμβοντες* supplebat Sorof).

441 Vide ad fr. 431. *Στερνοφθάλμους* ex Aeschylo memorat etiam Tzetzes in Anecd. Oxon. vol. III p. 370, 9.

442

στόμις

443

σχελίδες

444

τραγέλαφος

445

τρισσόζοος

442 Eustath. Od. p. 1538, 50 *στόμις παρ' Αἰσχύλῳ ὁ ὥσπερ στόματι ἀντερείδων χαλινοῖς*. Poll. II 100 *στόμα* (*στόμιν* Nauck) *δὲ εἶπεν Αἰσχύλος τὸν τραχύν*. Cfr. Phryn. Bekk. p. 64, 14 *στόμις* (*στόμης* cod.) *καὶ βίαιος ἵππος· ὁ μὴ πειθόμενος τῷ χαλινῷ*, Phot. lex. p. 540, 16 et Suidas *στόμις* (*στομίας* Suid.) *ἵππος· ἀπειθὴς καὶ βίαιος*, Hesych. *στόμις* (*στομίς* cod.)· *ὁ ἀπειθής, μέγα στόμα ἔχων· καὶ τοὺς ἵππους δὲ στομίας λέγουσι τοὺς ἀπειθοῦντας τοῖς χαλινοῖς*.

443 Schol. Aristoph. Equ. 362 et Suidas *σχελίδας· βοὸς πλευρά· ἢ ἁπλῶς τὰ πλευρικὰ τῶν βοῶν* (*τὰ πλευριμαῖα τῶν χρεῶν* Suid.), *ὡς Αἰσχύλος*.

444 Aristoph. Ran. 937 *ΑΙΣΧ. σὺ δ' ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἄττ' ἐστὶν ἅττ' ἐποίεις; ΕΥΡ. οὐχ ἱππαλεκτρυόνας* (cfr. fr. 184) *μὰ Δί' οὐδὲ τραγελάφους, ἅπερ σύ, ἂν τοῖσι παραπετάσμασι τοῖς Μηδικοῖς γράφουσιν*.

445 Etym. M. p. 279, 17 *δὶς ἡβήσαντα* (Lycophr. 156), *τουτέστιν ἀναζήσαντα. φησὶ γὰρ μετὰ τὴν κρεουργίαν οἱ θεοὶ τὸν Πέλοπα ἀνεζωποίησαν· καὶ τρισσόζωος* (sic M, *τρισόζυος* DP) *παρὰ Αἰσχύλῳ* (verba *καὶ . . Αἰσχύλῳ* om. F). Etym. Gud. p. 585, 14 (Etym. Flor. ed. Miller p. 285 sq.) *δίς καὶ τρίς ἐν τῇ συνθέσει ἀποβάλλουσι τὸ Σ, οἷον δίμηνος δίπηχυς τρίπηχυς· σεσημείωται τὸ δισθανέες καὶ τὸ τρίσφυλλον παρὰ Νικάνδρῳ . . καὶ τρισόζυος παρ' Αἰσχύλῳ*.

446

[*Φρυγία*]

447

φυξίμηλον

448

χαλιμάδες

446 Schol. Hom. B 862 *οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Αἰσχύλος δὲ συνέχεεν.* Eadem fere Eustath. Il. p. 364, 42. Cfr. Strab. XIV p. 665 *οἱ ποιηταὶ δέ, μάλιστα οἱ τραγικοὶ συγχέοντες τὰ ἔθνη καθάπερ τοὺς Τρῶας καὶ τοὺς Μυσοὺς καὶ τοὺς Λυδοὺς Φρύγας προσαγορεύουσιν κτέ.* Pertinere haec videntur ad *Φρύγες*. Cfr. supra p. 600 et ad fr. 271.

447 Plut. Quaest. Gr. X p. 292 A *τί τὸ φυξίμηλον; τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπινεμομένων, φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος.* Cfr. Hesych. *φυξίμηλα* (*φυξήμηλα* cod.)· *δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων.*

448 Schol. Apoll. Rh. I 473 *χαλίκρητον· τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ καὶ τὰς βάκχας χαλιμίας φησὶ λέγεσθαι* (*χαλιμάδας, φασί, λέγει* Hermann). Cfr. Etym. M. p. 805, 10 *καὶ τὰς βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν,* Hesych. *χαλιμάδες· ἀναίσχυντοι καὶ θρασεῖαι,* Suid. *χαλίμα* (*χαλιμάς* Toup) *ἡ πόρνη, ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ* (*ὑπὸ* Nauck) *μέθης ἢ μανίας,* Eustath. Od. p. 1471, 2 *εἰ δὲ πρὸς τὰς τοιαύτας διάφοροί τινες ἦσαν αἱ κατ' Αἰσχύλον σπονδαὶ χαλίκρητοι* (v. fr. 323), *ζητητέον· τοιαῦται δὲ αἱ ἐπὶ Διονύσῳ κραθεῖσαι· χάλις γάρ, φασίν, ὁ Διόνυσος· ἐξ ἐκείνου δὲ καὶ ὁ ἄκρατος οἶνος. ὅθεν καὶ χαλιμὰς γυνὴ κατὰ τοὺς πα-*

---

448 *χαλειμάδες* (i. e. laxivestes) pro *χαλιμάδες* Hermann.

449

χειμάμυνα

450

χελιδονίζειν

451

ψιλής (ψιλῆτος)

Fragmenta dubia et spuria.

452

οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν,
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

λαιοὺς ἢ ὑπὸ μέθης χαλωμένη τὸ σῶμα, Sueton. in Miller. Mél. d. litt. gr. p. 414 χαλιμάς· ἀπὸ τοῦ ἐκ μέθης ἢ μανίας ἢ ἀκολασίας χαλᾶσθαι· χάλις δὲ καὶ ὁ ἄκρατος. Ad Edonos referunt Welcker et Hermann (opusc. V p. 18sq.), ad Bacchas sive Bassaras Hartung.

449 Poll. VII 61 τὸ μέντοι χειμερινὸν ἱμάτιον χείμαστρον ἂν λέγοις, καὶ χλαῖναν δὲ παχεῖαν, ἣν χειμάμυναν μὲν Αἰσχύλος, Ὅμηρος (ξ 529) δὲ ἀλεξάνεμον κέκληκεν. Cfr. Eustath. Od. p. 1767, 43 παχεῖαν χλαῖναν . . ὁποία τις ἡ μὴ μόνον ἀλεξήνεμος λεγομένη, ἀλλὰ καὶ χειμάμυνα, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, Hesych. χειμάμυνα· ἣν Ὅμηρος ἀλεξάνεμον λέγει, Anecd. Bachm. vol. I p. 415, 5 χειμάμυνα· παρὰ Σοφοκλεῖ, ἡ παρ' Ὁμήρῳ ἀλεξάνεμος.

450 Schol. Aristoph. Av. 1680 καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν φησί. Fortasse Aeschylus non ipso verbo χελιδονίζειν usus est, sed nihil nisi Ag. 1034 χελιδόνος δίκην ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη dixit.

451 Schol. Hom. Ε 9 περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ »Κουρῆτές τ' ἐμάχοντο« (Ι 529) καὶ τοῦ κριτῆς ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον. Eustath. Il. p. 515, 10 τὸ ψιλῆς ψιλῆτος παρ' Αἰσχύλῳ. Cfr. Choerob. in Theod. p. 55, 4 σεσημείωται τὸ Κουρῆς Κουρῆτος . . καὶ τὸ ψιλῆς ψιλῆτος.

452 Aristoph. Ran. 1431 Aeschylum dicentem facit: οὐ χρὴ . . τρέφειν, μάλιστα μὲν λέοντα μὴ ἐν πόλει τρέφειν, ἢν δ' . . ὑπη-

453

καλῶς τεθνάναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι

454

οὐκέτ' ἀκταίνω

455

Zenob. 5, 85 *Σαρδάνιος γέλως· Αἰσχύλος ἐν τοῖς περὶ παροιμιῶν περὶ τούτου φησὶν οὕτως· οἱ τὴν Σαρδὼ κατοικοῦντες, Καρχηδονίων ὄντες ἄποικοι, τοὺς ὑπὲρ τὰ ἑβδομήνοντα ἔτη γεγονότας τῷ Κρόνῳ ἔθυον κτέ.* Locum lacunosum esse sic fere supplendum:

ρετεῖν. Alter versus abest a Ven. et tribus aliis libris. Tres versus afferunt Anth. Pal. X 110 (cum lemmate *Αἰσχύλου*) et Suidas v. *οὐ χρή* et *σκύμνος*, versum primum Macarius VI 71, versum alterum et tertium Plut. Alc. 16. Versum primum delevit Dindorf, rectius alterum JH Vossius. Ex tragoedia aliqua Aeschyli primum versum sumptum esse iudicat Gataker Misc. p. 504 C. ex Danaidibus primum et tertium Hermann (opusc. II p. 332 sq. et VIII p. 135 sqq.). Primum versum de Astyanacte dictum esse suspicatur Welcker (Zeitschr. f. Altertumsw. 1831 p. 1211 sqq.) ratus Aeschylum *Ἰλίου πέρσιν* (cfr. Aristot. Poet. c. 23 fin.) scripsisse. At cfr. Hermann opusc. VII p. 357 sqq. et VIII p. 129 sqq.

453 Thom. Mag. p. 238, 8 *οὐ λογογράφων τὸ λέγειν »μᾶλλον πλουσιώτερος« καὶ »μᾶλλον ἀνδρειότερος« .. ποιηταὶ δὲ ὥσπερ καὶ ἕτερ' ἄττα καινοτομοῦσι, καὶ τοῦτο ἔστιν ὅτε ποιοῦσιν. Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις »καλῶς .. σεσῶσθαι«.* Excidisse quaedam videntur: *Αἰσχύλος ἐν τ. Ἑ. ἐ. Θήβαις »μᾶλλον ἐνδικώτερος«* (v. 660) *καὶ ... »καλῶς .. σεσῶσθαι«.* Cfr. etiam frg. 401.

454 Phryn. Bekk. p. 23, 12 *ἀκταινῶσαι .. Αἰσχύλος »οὐκέτ' ἀκταίνω« φησὶ βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν.* Respici Eum. 36 *ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν* monuit Ruhnken. Cfr. Etym. M. p. 54, 37 (Etym. Gud. p. 30, 15, Etym. Sorb. p. 147 D Gaisf.) *ἀκταίνειν· τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι καὶ γαυριᾶν .. ἀφ' οὗ »ἀκταίνω« τὸ κουφίζω παρὰ Αἰσχύλῳ καὶ »ἀκταῖνον μένος« τὸ ἀνάγον καὶ δυνάμενον ἀνορθοῦν.* Etiam verba *ἀκταῖνον μένος* Aeschyli esse opinatur Schütz.

Σαρδάνιος γέλως· ⟨μέμνηται ταύτης⟩ Αἰσχύλος ἐν τοῖς ⟨Αἰγυπτίοις vel *Φρυξί, Δήμων δὲ ἐν τοῖς⟩ περὶ παροιμιῶν* suspicatur O Crusius Anal. Crit. ad Paroemiogr. Gr. p. 148, ut *Σαρδάνιος γέλως* in fragmentis Aeschyli collocari debeat, nisi nomen Aeschyli pro Sophocle positum sit. Cfr. schol. Plat. p. 926 a 31 *Σαρδάνιος γέλως . . ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ.* Hoc verum videtur.

456

δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

457

Schol. Eur. Phoen. 175 *Ἡσίοδός* (Theog. 371) *φησιν ἀδελφὴν Ἡλίου τὴν Σελήνην . . Αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρόσον [ἐκ] τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει. ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ἀποστάσεις μεταμορφοῦται ἡ σελήνη.* Pro *Αἰσχύλος* probabiliter *Εὐριπίδης* scribit Nauck collatis eis quae Badham in Iph. T. praef. p. 14 sqq. disseruit de Eur. Phoen. 175, ubi *θύγατερ ἀελίου Σελαναία* in *θύγατερ ἁ Λατοῦς Σελαναία* emendat Badhamo duce Nauck. Cfr. etiam M Haupt Herm. I p. 26.

458

Eustath. Opusc. p. 355, 28 *ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινὸν ἐάν, ὡς ἡ παροιμία, ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ.* Unum vocabulum *ἀρτί-*

456 Stob. Ecl. 1, 3, 24 *Αἰσχύλου· »δράσαντι γάρ τοι* (*τι* cod. Aug.) *. . ὀφείλεται«*, Theophilus ad Autol. 2, 37 p. 176 *Αἰσχύλος ἔφη »δράσαντι γάρ τοι . . ὀφείλεται«.* Quia simillimum est Sophoclis fragmentum 209 *τὸν δρῶντα γάρ τι καὶ παθεῖν ὀφείλεται*, nomen Aeschyli errori deberi putat Nauck et verba Aeschyli (Cho. 312 sq.) *δράσαντι παθεῖν, τριγέρων μῦθος τάδε φωνεῖ* in Stob. Anthol. intercidisse suspicatus est M Schmidt Philol. XVI p. 162. Cfr. Schol. Pind. Nem. 4, 51 *παρὰ τοῦτο ὁ τραγικός »τὸν δρῶντα πού τι καὶ παθεῖν ὀφείλεται«*, Arrian. Exp. Alex. VI 13, 5 *καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν· τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου, ὅτι τῷ τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον.*

δροπος Aeschyleum esse ex Sept. 320 sumptum, iudicavit Schneidewin Philol. vol. V p. 369, plura inde in hunc Sept. fabulae locum conferenda esse vol. I p. 144 ad Sept. 322 monui. Proverbium ἄνθος ἐν μετοπώρῳ memorat Eustath. opusc. p. 308, 63.

459

ἱροπῶτις

460

μάντις

461

μυχθίζειν

462

ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις

463

Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον

459 Schol. Hom. *T* 88 *ἠεροφοῖτις . . οἷον ἐρεβοφοῖτις. ἔνιοι δὲ ἱροπῶτις παρὰ τὸ Αἰσχύλειον, παρὰ τὸ εἰς ἔριν νεύειν.* Scriptum olim fuisse: *ἔνιοι δὲ εἰαροπῶτις παρὰ τὸ Αἰσχύλειον* (Eum. 264)· *ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ φεροίμαν βοσκὰν πώματος δυσπότου*, coniecit Bergk. Ad Homerum (*T* 87) pertinere Hesychi glossas *εἰαροπότης ἠεροπότης ἰαροπότης* monuit MSchmidt.

460 Eustath. Il. p. 48, 37 *καὶ Αἰσχύλος δέ που, φασί, τὸν ἰατρὸν μάντιν ὀνομάζει.* Eusthathium *ἰατρόμαντιν* voluisse, quod saepius apud Aeschylum occurrit, probabiliter coniecit Nauck.

461 Eustath. Il. p. 440, 25 (Od. p. 1965, 49) *τὸ μυχθίζειν παρά τε Αἰσχύλῳ καὶ ἄλλοις.* Respici videtur Prom. 769 *σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ.*

462 Aristoph. Ran. 704 *τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις*, schol. *Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ· ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ »ψυχὰς . . ἀγκάλαις«.*

463 Strab. VIII p. 341 (Eustath. Il. p. 305, 34) *ποιητικῷ δέ τινι σχήματι συγκαταλέγειν τὸ μέρος τῷ ὅλῳ φασὶ τὸν Ὅμηρον . .*

464

χώριζε θνητῶν τὸν θεὸν καὶ μὴ δόκει
ὅμοιον ἑαυτῷ σάρκινον καθεστάναι.
οὐκ οἶσθα δ' αὐτόν· ποτὲ μὲν ὡς πῦρ φαίνεται
ἄπλατος ὁρμῇ, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος·
καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερής,
ἀνέμῳ νεφέλῃ τε κἀστραπῇ, βροντῇ, βροχῇ,
ὑπηρετεῖ δ' αὐτῷ θάλασσα καὶ πέτραι
καὶ πᾶσα πηγὴ χὔδατος συστήματα·
τρέμει δ' ὄρη καὶ γαῖα καὶ πελώριος
βυθὸς θαλάσσης κὠρέων ὕψος μέγα,
ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου.
πάντα δύναται γάρ. δόξα δ' ὑψίστου θεοῦ.

465

μενοινᾷ

καὶ Ἀλκμὰν δέ »*Κύπρον ἱμερτὰν λιποῖσα καὶ Πάφον περιρρύταν*« *καὶ Αἰσχύλος* »*Κύπρου .. κλῆρον*«. *Αἰσχύλος* ex *Ἀρχίλοχος* corruptum esse comprobavit Meineke Vind. Strab. p. 103. Ad Aeschyli *θαλαμοποιούς*, quam *θαλαμηπόλους* vocat, refert Hartung.

464 Clem. Alex. Strom. V p. 727sq. (Euseb. P. E. XIII p. 689 B) *Αἰσχύλος μὲν ὁ τραγῳδοποιὸς τὴν δύναμιν τοῦ θεοῦ παρατιθέμενος οὐκ ὀκνεῖ καὶ ὕψιστον αὐτὸν ἀγορεύειν διὰ τούτων·* »*χώριζε .. ὅμοιον ἑαυτῷ* (*ὅμοιον σαυτῷ* vel *σαυτῷ ὅμοιον* Eus.) .. *οἶσθα δ'* (*οἶσθά γ'* vel *οἶσθας* Eus.) .. *ποτὲ δὲ* (*ποτὲ* Eus.) *γνόφος .. καὶ ἀστραπῇ* (*κἀστραπῇ* Eus.) .. *καὶ ὕδατος .. καὶ ὀρέων .. ἐπὰν ἐπιβλέψῃ .. δυνατὴ γὰρ δόξα ὑψίστου θεοῦ*«. Eosdem versus Aeschylo tribuit Justinus Martyr de monarchia c. 2 p. 130 »*χώριζε .. ὅμοιον σαυτῷ* (vel *ἑαυτῷ*) .. *οἶσθας* (vel *οἶσθα δ'*) .. *καὶ ὀρέων* (vel *κὠρέων*) .. *δύναται γάρ, δόξα δὲ .. θεοῦ*«. De his versibus quos a falsario compositos esse monuerunt Grotius, Pauw, Heath, vide Boeckh. de Gr. trag. princ. p. 150sqq.

465 Schol. Hom. *ν* 381 ex cod. Ven. 613 (M) editum ab A Ludwich in progr. univ. Regiomont. 1871 *μενοινᾷ· φροντίζει, με-*

---

464 V. 2 *ὅμοια σαυτῷ* Jortin V. 6 *νέφει* Grotius.

466

αἰῶ

467

λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος

468

ἐμπεδὴς γαμόρος μάρψεν Ἀίδης

469

ἔνορχιν λαόν

470

Τιρύνθιον πλίνθευμα, Κυκλώπων ἕδος

